ὁρίζει τὰ μέλλοντα, Πλήθων δὲ οὐχ ἱκανῶς ἀποδείκνυσιν εἶναι; ἀλλ' οὐδὲ τὸ παράπαν ἐστί. τί γὰρ ἂν καὶ εἴη γε ἡ εἱμαρμένη; ἢ δῆλον, ὅτι διανοίας ἐστὶν ἀνάπλασμα κακοδαίμονος, πρᾶγμα δὲ οὐδὲν ὃ τὸ δέ τι ὄν, εἱμαρμένη κατονομάζεται. πάθους γάρ ἐστιν ὄνομα, εἴτε ἐκ τοῦ εἱμάρθαι, ὅ ἐστι μεμερίσθαι, παραληφθὲν τὴν ἀρχὴν, ἢ ἐκ τοῦ εἱρμοῦ, κατὰ τοὺς λέγοντας, εἱρμῷ τινι καὶ ἁρμονίᾳ τῆς τῶν οὐρανίων κινήσεως, καὶ ἐπιῤῥοῆς τῶν οὐρανίων σωμάτων, εἶναί τε τὰ ὄντα πάντα καὶ διοικεῖσθαι. ἀλλὰ ταῦτα, πολλοῖς τε καὶ γενναιοτάτοις καὶ ἀληθεστάτοις λόγοις, καὶ ἀνάγκης οὐδὲν παραλείπουσιν, ὑπὸ τῶν ἡμετέρων ἐξελήλεγκται πατέρων καὶ διδασκάλων ἀρκούντως· καὶ ἡμᾶς οὐ χρὴ τοῖς ἐκείνων προσεπιχειροῦντας, οὐκ ἀναγκαῖον ὑφίστασθαι πόνον. ἀλλ' ἐκεῖνο δῆλον ὡς εἴρηται, ὡς πάθους ἐστὶν ὄνομα ἡ εἱμαρμένη, ἢ ἐκ τοῦ εἱμάρθαι παρειλημμένον, ἢ ἐκ τοῦ εἱρμοῦ, ἢ ὁθενοῦν ἄλλοθεν· οὐ γὰρ διοισόμεθα περὶ τούτων. ὃ δὲ πάθους ἐστὶν ὄνομα, ἢ σχέσεως οἱασοῦν, ποιοῦντος πρὸς πάσχον, καὶ τὸ ἀνάπαλιν, ἢ ὅ,τί τῳ φίλον ἄλλο καλεῖν, καὶ οὐ καθ' ἑαυτὸ τὸ δέ τί ἐστιν, πῶς ἂν τοῦτο αἴτιον εἴη τινός; τὸ γὰρ ποιοῦν τοῦ ποιουμένου μᾶλλον αἴτιον, οὐχὶ τὸ πάθος αὐτὸ, ὃ τὸ τὸ δέ τι γινόμενον πέπονθεν, ἢ ποιοῦν ἔδρασεν. τὸ γὰρ θερμαῖνον αἴτιον, τοῦ τεθερμάνθαι τὸ δέ τι ὑποκείμενον, οὐκ ἄνευ τῆς θέρμης· οὐχὶ τὸ τεθερμάνθαι αἴτιον, οὐθ' ἑαυτοῦ, οὔτε τοῦ ἄλλου. ὅτι μηδὲ καθ' αὐτὸ οἷόν τε εἶναι, μήτε τοῦ θερμαίνοντος ὄντος, μήτε ὃ θερμανθήσεται. Ποιητικὸν μὲν οὖν αἴτιον οὕτως οὐκ ἂν εἴη γε ἡ εἱμαρμένη. ἔδει γὰρ αὐτὸ καθ' ἑαυτὸ πρότερον εἶναί τι,

καὶ

regat, & decernat futura, idque tantum à Plethone non fuerit satis demonstratum? Verum non est omnino fatum. Quid enim quæso tandem esset? Vel certe apparet, infelicis esse commentum ingenii, nihil vero esse, quod aliquam naturam habeat, & ei respondeat. Passionis enim nomen est εἱμαρμένη, sive ἀπὸ τοῦ εἱμάρθαι, quod divisum esse notat, repetitum primo sit, sive à voce εἱρμὸς, secundum eos, qui conspiratione quadam & concentu motionum cœlestium, atque vi ipsorum syderum, & esse dicunt, quæ sint, omnia, & gubernari. Verum hoc quam plurimis & validissimis juxta ac verissimis rationibus, quæque nihil absint à demonstratione, reprehensum est à Patribus & Doctoribus nostris, quod satis sit. Quare nihil attinet in tractando rursus hoc loco supervacuum laborem consumere. Id certe, ut dixi, est perspicuum, passionis esse nomen εἱμαρμένην, sive ex εἱμάρθαι seu ex εἱρμῷ, aut undecunque placuerit, derivatum: nihil enim hac de re contendemus. Quod vero passionis nomen est, aut affectionis cujuscunque, ad rem patientem vel agentem referendæ, vel utcunque vocare malis, ex sese certe ipsum non habeat naturam: quomodo id causa cujuspiam sit? Nam id quod efficit, causa potius dicenda est ejus, quod efficitur, non vero affectio, quæ rei impressa est, aut quam agens impressit. Id scilicet, quod calefacit, causa est, cur calefiat corpus, licet per calorem; Calor autem nequit esse causa vel sui ipsius, vel alius rei, cum ne separatim quidem possit existere, ubi nihil fuerit, quod calefaciat, aut calefiat. Hinc igitur exsistit, fatum non esse causam efficientem. Oportuit enim prius per se esse aliquid, & id quidem agens,

καὶ δραστικὸν, ἀλλ' οὐχὶ παθητικὸν εἶναι, καὶ οὕτως ἑτέρου ποιητικὸν εἶναι λέγεσθαι. οὐ γὰρ δὴ τὸ μὴ ὂν, εἶναί του ποιητικόν. δεῖ δὲ αὐτὸ καὶ ἄλλο εἶναι, καὶ μηδὲν τῶν τοῦ πράγματος ὃ γίνεται. ἀλλὰ ποιητικὸν μὲν οὐκ ἂν εἴη διὰ ταῦτα. μή ποτε δὲ παθητικόν ἐστι, καὶ αὐτὸ τοῦτο πραγματικὸν, ταυτὸν δ' εἰπεῖν ὑλικὸν; οὐ γὰρ δὴ εἰδικὸν εἴποι τις ἂν αὐτό· ἀναγκασθήσεται γὰρ δήπου λέγειν, τί ὂν πρότερον, αὐτὸ τοῦτο εἰδικόν ἐστιν. οὐδὲ τελικόν· ἄλλο γάρ τι καὶ τούτου ποιητικόν. ἀλλὰ τὸ τοιοῦτον, πρῶτον μὲν οὐδ' ἂν αὐτὸς ἀξιώσειε Πλήθων, ποιητικὸν, ἀλλ' οὐ παθητικὸν, τὴν εἱμαρμένην εἶναι τιθέμενος. ἔπειτα εἰ παθητικὸν, πῶς ποιητικόν; ἢ ὡς αἱ παθητικαὶ λεγόμεναι ποιότητες, γλυκύτης δηλαδὴ καὶ πικρότης, θερμότης τε καὶ ψυχρότης, καὶ τὰ παραπλήσια; ἀλλὰ καὶ οὕτω τὸ ἐν ᾧ ζητητέον. εἰ μὴ Δία λέγοι τις, ὃς καὶ αὐτὸς ἔσται καθ' εἱμαρμένην, ἵνα τὸ νῦν εἶναι τὴν ἄλλην τέως ἐξετάζειν παραλείπω ἀσέβειαν, εἴπερ καὶ αὐτοῦ ἐστιν, ὥς φησιν, ἡ ἀνάγκη καὶ εἱμαρμένη. πῶς δὲ οὐκ ἄλλο αὐτοῦ ἔσται ποιητικόν; εἰ δὲ κἀκεῖνο εἱμαρμένη, πῶς οὐκ ἐπ' ἄπειρον, ἡ τῶν ποιητικῶν ἀναγωγὴ καὶ παθητικῶν; εἶεν. ἀλλὰ τούτων μὲν ἴσως τῶν αἰτίων οὐδέν· μή ποτε δὲ ὡς δύναμίς τις ἢ ἐνέργεια τοῦ ποιοῦντος; ἀλλὰ καὶ οὕτω τὸ ποιοῦν αἴτιον, οὐχ ἡ δύναμις, οὐδ' ἡ ἐνέργεια. οὐδὲ γὰρ οὐδεὶς ταῦτα τῶν πραγμάτων αἴτια τίθεται, ἀλλὰ τὸ ποιοῦν τούτοις πάντες ἀξιοῦσι ποιεῖν. τὸ δυνάμενον οὖν καὶ ἐνεργοῦν αἴτιον, οὐχ ἡ δύναμις ἢ ἐνέργεια καθ' αὑτὴν, εἰ καὶ ὅλως συγχωρήσειέ τις, τοιοῦτον εἶναι τὴν εἱμαρμένην. ἀλλὰ τούτων μὲν ἴσως οὐδὲν, οὐδὲ αὐτὸς ὁ Πλήθων, τὴν εἱμαρμένην ἐρεῖ, συγκεκληρῶ-

σθαι

non patiens, atque tum demum aliud efficere dici, ſiquidem quod non eſt, nequit producere aliquid: & præterea oportuit diverſum quid eſſe ab iis omnibus, quæ ad rem, quæ efficitur, pertineant. Conſequitur ergo ex jam dictis, cauſæ efficientis notionem ad fatum accommodari non poſſe. At forte patiens quid eſt, quod ipſum ſimul agat, vel quod eodem redit, cauſa materialis? Nec enim formalem quis dixerit, quia neceſſe eſt, monſtrare ante quid ſit, quam forma vocetur: neque finalem, ſiquidem & hæc ſimiliter ab alio proficiſcitur. Sed horum forte nihil nec ipſi temere placebit Plethoni, qui ſcilicet agens eſſe, non patiens fatum ſumſerat. Deinde ſi patiens eſt, quomodo agens erit? Patibiles forte, quas dicimus, imitatur qualitates, dulcedinem, amaritudinem, calorem, frigus, ſimilia? At vel ſic illud, cui inhæreat, quærendum erit: niſi Jovem quis dixerit, qui ipſe ſane, ut reliqua jam impietate examinanda tantiſper ſuperſedeam, à fati neceſſitate pendebit, ſiquidem ad illum quoque, ut ajunt, neceſſitas & fatum pertinent. Quidni ergo aliud ſit ejus cauſa efficiens? quæ ſi pariter ſit fatum, quid eſt, cur non in infinitum rerum agentium & patientium ſempiterna ſeries extrahatur? Eſto. Sed forte, ſi ad harum nullam cauſarum referri fatum poteſt, cum vi aut efficacia agentis contendi poterit. Sed & ſic, quod agit, cauſa eſt, neutiquam vero vis & efficacia: quandoquidem has nemo rerum putat eſſe cauſas, ſed id, quod per eas operatur, arbitrantur omnes vere agere. Quare quod vim iſtam & efficaciam in ſe continet, cauſa eſt, non vero vis & efficacia per ſeſe, ſi vel maxime quis hujus eſſe generis fatum conceſſerit. Sed nec horum in nu-

D 2 numerum

σθαι δὲ αὐτὴν τῷ Διΐ, (τῷ μὴ ὄντι τὴν μὴ οὖσαν.) καὶ γὰρ δὴ καὶ ἐπὶ λέξεως οὕτω φησί. τὰ μέλλοντα ἅπαντα εἵ-
,, μαρταί τε ἐξ αἰῶνος καὶ τέτακται, ὡς δυνατὸν αὐτοῖς,
,, ὑφ' ἑνὶ τῷ πάντων βασιλεῖ Διῒ ταττόμενά τε καὶ ὁριζό-
,, μενα. ὃς εἰ καὶ μὴ ὥρισται μόνος τῶν πάντων, οὐκέτ' ὄντος
,, οὗ καὶ τοῦτον ἂν ὁρισοῦντος· ὑπὸ γὰρ τῶν ἑαυτῶν αἰτίων ἅ-
,, παντα ὁρίζεσθαι τὰ ὁριζόμενα· ὅμως κρείττων ἢ ὥστε ὡ-
,, ρίσθαι, μένει τε ἀεὶ καὶ κατὰ τὰ αὐτὰ ὡσαύτως, καὶ τὴν
,, μεγίστην πασῶν ἀνάγκην καὶ κρατίστην, αὐτὴν δι' αὐτὴν
,, οὖσαν ἀνάγκην, οὐ δι' ἕτερον, αὐτὸς ἐστιν ὁ κεκτημέ-
,, νος. ὡς τήν τε ἀνάγκην τῆς οὐκ ἀνάγκης ἀμείνω οὖσαν,
,, καὶ αὐτῷ τὴν μεγίστην ἀναγκῶν, ἄκρως ἀγαθῷ ὄντι, μᾶλ-
,, λόν τι προσήκουσαν. Ὢ τῆς κενοφωνίας! παραπληξία ταῦτα, καὶ φρενῶν ἔκστασις, καὶ ὑγιὲς οὐδὲ ἕν. ὅθεν οὐδ' ἐχρῆν ἡμᾶς ἀποκρίνεσθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, μὴ τῷ τὰ αὐτοῦ καταναγκάζεσθαι παράγειν εἰς μέσον, καὶ γλῶτταν καὶ διάνοιαν καὶ ἀκοὴν, καὶ αὐτὸν ἀέρα μολύνωμεν. τί γὰρ ἂν γένοιτο μιαρώτερον, τοῦ Δία τε καὶ εἱμαρμένην τοῖς οὖσιν ἐφιστᾶν, καὶ αὐτοῖς τὴν τοῦ παντὸς ἐπιτρέπειν καὶ συντήρησιν καὶ περιαγωγήν; Πλὴν ἀλλὰ τῆς μὲν περιτροπῆς τῆς ἀσεβείας ταύτης ὁ τὰ τοιαῦτα κληρονομείτω κενοφωνῶν· φωτὸς ἀλλαξάμενος ζόφον, καὶ τῷ μόνῳ τῶν ὄντων δημιουργῷ τε καὶ συνοχεῖ ἀντικαθιστᾶν τολμῶν τὰ μὴ ὄντα. ἡμεῖς δὲ καὶ νῦν καὶ γλῶτταν καθαρεύοιμεν, καὶ ἀκοὴν καὶ διάνοιαν· φρονοῦντές τε καὶ λαλοῦντες αὐτοὶ, καὶ λαλούντων ἄλλων ἀκούοντες, ἃ θέμις καὶ λαλεῖν καὶ ἀκούειν. ἀποτρεπόμενοι, τὰ ὄντως ἀποτροπῆς ἄξια, καὶ τὴν πλάνην ἐξελέγχοντες,

τῶν

merum ipse Pletho reposuerit fatum, sed fortis quasi quadam necessitudine conjunctum dicet cum Jove. (id scilicet quod non est, cum eo qui non est.) Sic enim diserte loquitur. „Futura omnia ex æternitate
„ constituta sunt & ordinata, ut fieri nimirum per
„ hæc ipsa potuit, ab uno omnium Rege Jove
„ ordinata ac definita. Qui, quanquam so-
„ lus inter omnes definitus non sit, cum nondum
„ fuerit aliquid, quod definire illum quiverit, nam
„ à suis quæque causis definiri necesse est; tamen,
„ potior licet, quam qui definiri potuerit, & ma-
„ net semper idem, eodemque in statu, & sustinet
„ maximam omnium & fortissimam necessitatem,
„ quæ ipsa per se necessitas est, non per aliud quid.
„ Ut argumento esse debeat, & necessitatem præ-
„ stare fortuitis, & Jovi, quod perfecte bonus sit,
„ maximam necessitatem quam optime convenire.
O voces inanes! Delirantis hæc sunt, & mente commoti, nihilque est in omnibus his sani. Unde nec respondendum erat insipienti secundum dementiam ejus, ne, dum ejus cogimur verba adducere in medium, linguam, mentem, aures, ipsum denique aërem polluamus. Quid enim fieri possit impurius, quam Jovem & fatum rebus præficere, ipsisque omnium curationem & procreationem committere? Ast culpa hujus impietates in hunc ipsum redundet, qui voces adeo inanes emisit, & tenebras luci prætulit, quique in solius omnium rerum architecti & moderatoris locum surrogare illa, quæ non sunt, ausus est. Nos vero mentem & linguas purgemus, aures etiam & cogitationes: loquentes ea & sentientes, quæ & sentire & loqui fas est, & aliis eadem loquentibus obtemperantes. Abhorrea-

τῶν σκοτισθέντων τὴν ἀσύνετον αὐτῶν καρδίαν, καὶ μωρανθέντων, ἐν οἷς ἑαυτοὺς καὶ ᾠήθησαν σοφοὺς καὶ ὠνόμασαν· τῇ καθ' ἑαυτοὺς σοφίᾳ τὸ πᾶν ἐπιτετροφότες, καὶ τῇ ἀληθινῇ σοφίᾳ ἀντικαθιστῶντες αὐτήν. ὧν ἐν τοῖς μάλιστά ἐστι Πλήθων ὁ ἀποστάτης, ὃς τῷ τῆς σοφίας ἀγαθῷ ἐπὶ τῷ ἑαυτοῦ κακῷ καθάπαξ χρήσασθαι διανοηθεὶς, τὰ μέλλοντά φησιν ἅπαντα εἵμαρταί τε ἐξ αἰῶνος καὶ τέτακται, ὡς δυνατὸν αὐτοῖς, ὑφ' ἑνὶ τῷ πάντων βασιλεῖ Διὶ ταττόμενά τε καὶ ὁριζόμενα. τίς οὗτος ὃν εἰσάγεις Δία, ἡδέως ἂν ἠρόμην αὐτόν; ὁ τῆς Ῥέας; ὁ τὸν πατέρα Κρόνον τῆς ἀρχῆς ἐξελών; ὁ τῶν θεῶν, ὡς αὐτὸς ἂν φαίης, τύραννος; ὁ ἐκ μὲν κεφαλῆς Ἀθηνᾶν, ἐκ δὲ μηροῦ ὠδίνων Διόνυσον; ὁ θήλεσί τε καὶ ἄρρεσιν ὁμοίως ἐπιμαινόμενος, καὶ νῦν μὲν χρυσὸς, νῦν δὲ ταῦρος, νῦν δὲ κύκνος, ἤ τι τοιοῦτον γινόμενος ἕτερον, ἵν' οὕτω συγγεγενημένος λάθῃ τῇ ἑκάστοτε ἐρωμένῃ; οὗτος αὐτός ἐστιν, ἤ τις ἕτερος· καὶ εἰ ἕτερός τις, τίς οὗτος; ἢ δῆλον ὅτι ὁ δημιουργὸς Πλήθων· ὥστε τῷ περιόντι τῆς σοφίας καὶ θεοποιὸς ἡμῖν ἀναπέφηνε, τοῦτο τῆς πολλῆς σοφίας παρὰ τοὺς ἄλλους ἅπαντας ἐξαίρετον, ἐν τοῖς ὕστερον τουτοισὶν ἀπονάμενος χρόνοις. ἀλλὰ ταῦτα μὴ οὐχ ὅσιον ᾖ μηδ' ἐπὶ γλώττης φέρειν μηδόλως· ἀλλ' ἐκεῖνο τέως θεωρητέον. εἵμαρταί φησι τὰ ὄντα, ὡς δυνατὸν αὐτοῖς, ὑφ' ἑνὶ τῷ πάντων βασιλεῖ Διὶ ταττόμενά τε καὶ ὁριζόμενα. τί λέγεις; πῶς ὡς δυνατὸν αὐτοῖς εἵμαρται; πόθεν ἔχοντα τὴν τοῦ εἱμάρθαι δύναμιν; εἰ μὲν ἀφ' ἑαυτῶν; οὐκ ἄρα τῷ Διὶ πάντα εἵμαρταί τε καὶ ὥρισται· τὸ γὰρ δύνασθαι λοιπὸν τοῖς

οὖσιν

mus autem ab iis, quæ vere] digna sunt horrore, & reprehendamus potius errorem istorum, qui stultis mentibus tenebras offuderunt, & dementes facti sunt iis ipsis, quibus se & judicarunt & nominarunt sapientes: dum confictæ sibi sapientiæ omnia permiserunt, eamque suffecerunt in locum veræ sapientiæ. Quos inter, ut qui maxime, unus est Pletho, Apostata ille, qui dum sapientiæ bonum in suam vertere perniciem prorsus statuit, futura, inquit, omnia ex æternitate constituta sunt & ordinata, ut fieri nimirum per illa ipsa potuit, ab uno omnium Rege Jove ordinata & definita. Quis hic, quem inducis Jovem? Quærerem lubens. Quis? Qui matre Rhea est: Qui patrem Saturnum regno spoliavit: Qui Deorum est, ut ipse fatearis necesse, Tyrannus: Qui e capite Minervam, e femore Bacchum exclusit: Qui virorum non minus quam feminarum amore insaniit: Quique nunc imbrem aureum, nunc taurum, nunc cygnum, nunc aliud quid simulavit, ut ita clam ubique cum amata rem haberet? Hiccine est, aut quisquam alius: aut si alius, quis hic? Aut certe is est, cujus ipse nobis est architectus Pletho: Ut proinde abundanti sua sapientia & Deorum conditor esse ostendatur, qui denuo eximiæ istius apud alios omnes sapientiæ caput revocaverit. Sed hæc, vel in ore gerere nefas. Illa interim consideranda, cum dicit: Fato constitutæ sunt res, ut fieri per has ipsas potuit, ab uno omnium Rege Jove ordinatæ atque definitæ. Quid ais? Num, ut fieri per has ipsas potuit, constitutæ sunt? Unde vero habent illam, ut constituerentur, potestatem? Num à se ipsis? At ita non à Jove omnia constituta sunt ac definita. Sic enim potestas rebus non amplius à

fato

οὖσιν οὐκέτι παρὰ τῆς εἱμαρμένης καὶ τοῦ Διός· ἀλλ' οὐδὲ τὸ εἶναι. εἰ γὰρ τὸ δύνασθαι οὐ παρ' αὐτῶν, πολλῷ πρότερον οὐδὲ τὸ εἶναι. ἐπεὶ μηδὲ χωρίζεσθαί τι τῆς ἰδίας δυνάμεως πέφυκεν. δεῖ γὰρ πρότερον εἶναί τι, ἵνα καὶ δύναιτο. καὶ οὐκ ἂν εἴη τὸ δύνασθαι, μὴ ὄντος τοῦ δυναμένου. εἰ οὖν τοῦ δύνασθαι οὐκ αἴτιος σοι ὁ Ζεὺς καὶ ἡ εἱμαρμένη, τέτακται γὰρ ὡς δυνατὸν αὐτοῖς, οὐδὲ τοῦ εἶναι. εἰ δὲ μὴ τούτων, τοῦ τετάχθαι πῶς, καὶ κατὰ τὶ τετάχθαι; εἰ δὲ μὴ ἀφ' ἑαυτῶν, οὐχ' ὡς δυνατὸν αὐτοῖς, ἀλλ' ὡς ἠθέλησε τὸ καὶ τὸ εἶναι καὶ τὴν δύναμιν αὐτοῖς δεδωκός. τοῦτο δὲ εἰ μὲν ἄλλο τι παρὰ τὸν Δία τε καὶ τὴν εἱμαρμένην, αὐτὸ ἂν αἴτιον αὐτοῖς εἴη, καὶ τοῦ ὡρίσθαι τε καὶ τετάχθαι· καὶ μάταιον λοιπὸν, ὡς δὴ καὶ μάταιον ἀληθῶς, τὸ τῆς εἱμαρμένης τε καὶ τοῦ Διὸς ὄνομα. εἰ δὲ μὴ ἄλλο· αἴτιος ὁ πάντων βασιλεύς σοι Ζεὺς, οὐκ ἀγαθῶν μόνον ἀλλὰ καὶ πονηρῶν· ἴσως δὲ καὶ τούτων μᾶλλον, ὅσω καὶ παθῶν χαλεπωτάτων, παιδοφθορίας, πορνείας τε καὶ μοιχείας, καὶ πολλῶν ἑτέρων παραπλησίων, ποιητής τε καὶ δημιουργὸς, καὶ τοῖς αὐτὸν τιμῶσι διδάσκαλος γίνεται. ἢ πῶς οἱ τιμῶντες αὐτὸν ἅπερ αὐτὸς ἔπραττεν, οὐ ζηλώσουσιν; ὃ γὰρ τιμᾶται, πᾶν καὶ ζηλοῦται· μὴ ἐζηλωκότες δὲ, πῶς τιμήσουσι; δῆλον γὰρ ὡς σωφρονέστεροι τοῦ ἑαυτῶν ἔσονται θεοῦ. τὸ δὲ σωφρονεστέρους εἶναι, ἐσχάτην ἐστὶ καταψηφιζομένων αὐτοῦ ἀσέλγειάν τε καὶ ἀκρασίαν. ὡς καὶ τιμῶντας, τρόπον ἕτερον ἀτιμάζοντας τὰ ἔσχατα λεληθέναι. Δία οὖν καὶ εἱμαρμένην εἰσάγοντι, οἷς αὐτοὺς εἰσάγεις, εἰς τοὐναντίον ὁ λόγος σοι περιέτραπται. ὡς ἢ μη-

fato & Jove tributa esset, imo nec esse ipsum. Nam si potestas non ab his, multo minus esse, quandoquidem fieri non potest, ut quicquam à propria potestate secernatur. Oportuit enim prius esse quid, quam potestatem haberet, neque potestas absque eo, qui potestatem possidet, habet locum. Quodsi igitur potestatis causa abs te non refertur ad Jovem & fatum, siquidem ordinatas dicis esse res, ut fieri per has ipsas potuit, ne essentiæ quidem causa erunt. Quodsi non est, qui causa sint, quod definitæ sint res, & quod certo id factum sit modo? An vero non à se ipsis habere res hanc potestatem, sumes? At ita non ut fieri per has ipsas potuit, definitæ sunt, sed ut voluit, qui & esse & potestatem ipsis dedit. Qui si quis alius est præter Jovem & fatum, hic ipse illis causa erit, cur definitæ sint & ordinatæ, atque adeo vanum erit, ut profecto est, fati Jovisque nomen. Si vero non alius dedit potestatem, causa tibi omnium Rex Jupiter non bonorum modo, sed & malorum efficietur. Quin horum forte eo magis, quo magis pessimorum; facinorum, pæderastiæ, cædis, scortationis, adulterii, aliorumque multorum similium autor & architectus, & colentibus illum præceptor est. Aut quidni actus ejus æmulentur, qui habent in honore? Nam quod magni facimus, id omne æmulamur: quod qui non faciunt, quomodo in honore habebunt? Sane temperantiores suo erunt DEO, quales cum sunt, nihil agunt aliud, quam ut perditissimæ illum damnent lasciviæ & incontinentiæ. Ut adeo & qui illum colunt, alia via summam ipsi adspergant ignominiam imprudentes. Jovem ergo & fatum dum inducis, Pletho, qua tu conditione inducis, contra-

μηδόλως αὐτὰ τὸ παράπαν εἶναί τι, ὡς δὴ οὐδ' ἔστιν ἀληθῶς, ἢ μὴ πάντα ὑπ' αὐτῶν ὡρίσθαι τε καὶ τετάχθαι· τὸ σὸν δὴ τοῦτο κατὰ σὲ εἰπεῖν. εἶεν. τὴν δὲ δὴ μεγίστην πασῶν ἀνάγκην καὶ κρατίστην, αὐτὴν δι' αὐτὴν οὖσαν ἀνάγκην, οὐ δι' ἕτερον, πῶς ὁ Ζεὺς αὐτὸς κέκτηται; ὡς αἴτιος αὐτὸς αὐτῆς ἑαυτῷ, ἢ τὸ ἀνάπαλιν· ἢ οὐδέτερον, ἀλλ' ἑκάτερον δι' ἕτερον; οὐ γὰρ δὴ ἐξ ἀλλήλων ἔσται· ἄμφω γὰρ ἂν ἀνυπόστατα εἴη. ἐπεὶ μὴ πέφυκέ τι, τὸ αὐτὸ πρὸς τὸ αὐτὸ, αἴτιόν τε ἅμα καὶ αἰτιατὸν εἶναι. ἀλλ' εἰ μὲν τῆς ἀνάγκης αὐτὸς αἴτιος, ἢ καὶ ἀμφοῖν ἕτερον· ἥτε μεγίστη πασῶν ἀνάγκη οὐ δι' αὐτὴν, ἀλλὰ δι' ὅ ἐστι πάντως, ὅ, τε Ζεύς σοι ἀφύκτου ἀνάγκης καὶ δουλείας αὐθαιρέτου αἴτιος ἑαυτῷ, εἰ καὶ δουλείαν ἀνάγκης αὐτὸς ἀποδιαιρεῖς. εἰ δὲ διὰ τὴν ἀνάγκην ὁ Ζεὺς, ἐπαληθεύσει τὸ ποιητικόν· ἀνάγκῃ καὶ θεοὶ δοῦλοι. καὶ δοῦλος αὖθις ἔσται τῆς ἀνάγκης ὁ Ζεύς. τὸ δὲ δοῦλον εἶναι, οὐ θεόν ἐστιν εἶναι· οὐ γὰρ ἀπαθές. ὃ δὲ μὴ ἀπαθὲς, πῶς θεός; ἀλλ' οὐδὲ κρείττων ἔσται ἢ ὥστε ὡρίσθαι. ἀνάγκη γὰρ ἡ καὶ αὐτὸν ὁρίζουσα δήπουθεν, εἰ καὶ κατὰ μηδὲν ἄλλο, κατά γε τὸ ὑπ' αὐτὴν εἶναι καὶ δοῦλον αὐτῆς εἶναι. τούτου δ' ὄντος, οὐδ' ἡ ἀνάγκη τῷ Διῒ, τῆς μὴ ἀνάγκης, ἀμείνων· εἰ μὴ καὶ τὸ δοῦλον εἶναι ἄμεινον, τοῦ μὴ δοῦλον εἶναι· ὃ εἰ καὶ ἐπ' ἄλλων, ἀλλ' οὔτοι καὶ ἐπὶ Διὸς ἀξιώσειε Πλήθων, θεὸν αὐτὸν θεῶν, καὶ δεσπότην πάντων τιθέμενος. ἴσως δὲ δὴ καὶ ἡ ἄφυκτος αὐτὸν ἀνάγκη τοῖς παντοίοις τῶν πα-

θῶν

rium ejus, quod vis, oſtendis; ut jam vel nihil omnino ſint, ut profecto nec ſunt, vel non omnia ab ipſis definita ſint & ordinata: hæc enim tibi erunt, vel ex iis quæ dixiſti, admittenda. Eſto. Sed maximam omnium & fortiſſimam neceſſitatem, quæ ipſa per ſe neceſſitas eſt, non per aliud quicquam, quomodo ſuſtinet ipſe Jupiter? An, ut ipſe illam ſibi impoſuerit, an contra, ut illa ſe Jovi. Aut neutrumne horum placet, ſed utrumvis ex alio eſſe? Nec enim ex ſe invicem potuere naſci, cum ſic ambo ſuſtinerentur à nemine: Fieri enim non poteſt, ut idem ejuſdem ſimul cauſa ſit & effectus. Si jam neceſſitatis hujus cauſa eſt ipſe Jupiter, vel utriuſque aliud quiddam, efficitur, & maximum omnium neceſſitatem, non per ſe ipſam, ſed omnino per quod eſt, eſſe: & Jovem ineluctabilem ſibi neceſſitatem ac voluntariam ſeruitutem contraxiſſe, quanquam tu quidem ſervitutem à neceſſitate diſtinguis. Vel ſi Jupiter à neceſſitate eſt, decantato illi Poetarum effato ſua conſtabit veritas, neceſſitati Deos quoque ſervire, & rurſus Jupiter fati imperio ſubjicietur. Verum eſt ex repugnantibus hæc conjunctio, ſervum eſſe, & Deum eſſe: Nec enim à patiendo liber eſſet. At patientem Deum intelligere qui poſſumus? Sed ne potior quidem foret quam ut definiri potuerit, neceſſitas enim de illo debet ſtatuiſſe, ſi alia nulla in re, ſaltem ut ſibi ſubjiciatur & ſerviat. Quodſi ita eſt, neque neceſſitate Jovi melius quam libertate conſulitur; niſi forte ſervum eſſe præſtat, quam non eſſe, quod, etiamſi de aliis, de Jove certe dictum nolet Pletho, qui eundem Deum Deorum & Dominum omnium ſtatuerat. At illa credo ineluctabilis neceſſitas, in

θῶν περιέβαλεν εἴδεσιν εἰς μοιχείας αὐτὸν βιασαμένη, καὶ παιδοφθορίας, καὶ τοιαῦτ' ἄττα ἃ οὐδ' ἀνδραπόδῳ, μὴ πάνυ τοι ἀγεννεῖ, ἑκὼν ἂν εἶναί τις προσάψειεν. καὶ μὴν καὶ ἡ ἀνάγκη, τοῦ ἀναγκάζοντός τε καὶ ἐν τῷ ἠναγκασμένῳ ἐστιν. Τὸ δὲ τοιοῦτον οὐ καθ' αὑτὸ ἀλλὰ δι' ἕτερον, ὃ δὲ μὴ καθ' αὑτὸ ἀλλὰ δι' ἕτερον, πῶς τῶν καθ' αὑτὸ ὄντων ὁριστικόν τε καὶ αἴτιον, τὸ τόδετι μὴ ὄν, τῶν τόδετι ὄντων; καὶ περὶ μὲν τούτων ἀρκείτω τοσαῦτα. ὃ δ' ἐν τοῖς ἄνω παρήκαμεν ἀνεξέταστον, τοῦτο νῦν ἐπισκεψόμεθα. φησὶ γάρ· „πολὺ δ' ἔτι
„ μᾶλλον ἀδύνατον, εἰ τοὺς θεούς τις λέγοι μεταβάλ-
„ λεσθαι περὶ τὰ σφίσιν ὑπὲρ τῶν μελλόντων ἐγνωσμένα,
„ καὶ ἕτερ' ἄττα παρ' ἃ ἐμέλλησαν ἀποτελεῖν· εἴτε ὑπ'
„ ἀνθρώπων λιταῖς, ἤ τισι δώροις παραπειθομένους· εἴτε
„ δὴ καὶ ἄλλως γέ πως αὐτὸ πάσχοντας. περὶ μὲν δὴ τῆς ἀληθοῦς ἀμεταβλησίας τοῦ θείου, οὐδὲν κοινὸν ἡμῖν τε καὶ Πλήθωνι. τί γὰρ κοινὸν τοῖς τὸν ἀληθῆ προσκυνοῦσι θεὸν, καὶ τῷ τοῖς ματαίοις προσανέχοντι καὶ μὴ οὖσιν; ἣν δὲ Πλήθων τῶν αὐτοῦ θεῶν ἀμεταβλησίαν φησὶ, καὶ ἡμεῖς αὐτῷ καθ' ἕτερόν τινα συνομολογήσομεν τρόπον, καὶ ἐροῦμεν, περὶ τὰ ὄντα μηδεμίαν αὐτοὺς ὑπομένειν μεταβολήν. οὔτε γὰρ ὅλως εἶναι, οὔτε μεταβάλλεσθαι· ὄντων γὰρ τὸ μεταβάλλειν, οὐχὶ μὴ ὄντων· τότε δὲ μεταβαλεῖν ἂν ἀληθῶς, ὅτε καὶ γένοιντο, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθεῖεν. τοῦτο δὲ ἀμήχανον, ἢ οὐκ ἂν θεοὶ εἶεν πως οἵγε μὴ ἀεὶ ὄντες. οὐκ ἄρα οὐδὲ μεταβολὴν ἂν οὐδεμίαν δέξαιντό πως οἵγε μὴ ὄντες. ὅτι δὲ οὐκ εἰσὶ, καὶ ἀθεώτατος Πλήθων, τοὺς μὴ ὄντας εἶναι τιθέμενος, δῆλον ἐντεῦθεν. Τέλειος ὁ θεὸς, καὶ ὑπερτελής· ὡς πάσης τελειότητος ὑπεριδρυ-

μένος·

omnis cum generis flagitia conjecit, ad adulteria compellens & pæderastiam, aliaque id genus, quæ ne quidem mancipio non prorsus illiberali lubens quis adscripserit. Rursum necessitas cogentis est, & in illo, qui cogitur, cujusmodi quid non per se est, sed per aliud. At, quod per se non est, sed per aliud, quomodo, quæ per se sunt, definiret & efficeret, id, quod naturam non habet, ea, quæ habent? Sed hæc hactenus: jam illud, quod supra absque disquisitione prætermisimus, expendamus. „ Multo, inquit, minus fieri po-
„ test, ut quis Deos mutare dicat consilia, in iis,
„ quæ semel de futuris decreverunt, aut quædam
„ præter ea, quæ erant in animo, perficere: seu
„ precibus hominum illectos, seu donis quibusdam:
„ seu alia denique ratione inductos. De vera quidem immutabilitate Dei nobis cum Plethone prorsus non convenit. Nam qui conveniret verum adorantibus Deum, cum eo, qui vanis adhæret, nullamque naturam habentibus Numinibus? At si Pletho suorum quandam Deorum commemorat immutabilitatem, nos quoque habebit alia ratione consentientes. Dicemus enim, prorsus illos sustinere nullam circa res mutationem: nam nec esse omnino, nec mutari, siquidem mutatio non cadit nisi in ea quæ sunt: tum demum autem vere posse mutari, cum exstiterint, & ex nihilo protrahantur in lucem. Sed aut fieri hoc non potest, aut certe Dii non sunt, qui non semper fuerunt. Quare qui non sunt, neque mutationem subibunt. Ast, quod non sint, quodque vehementer irreligiosus Pletho sit, dum eos, qui non sunt, esse dicit: inde manifestum fiet. Perfectus est Deus, imo maxime

μένος· παρʼ ὃ καὶ τοῖς τελείοις ἅπασι τὸ εἶναι τελείοις, καὶ τοῖς πλήρεσι τὸ πλήρεσιν εἶναι, καὶ τοῖς δυναμένοις, τὸ δύνασθαι. καὶ οὐκ ἂν οὔτε κατʼ οὐσίαν ἐλλείποιτο, οὔτε κατὰ δύναμιν οὔτε κατʼ ἐνέργειαν. τὸ γὰρ κατά τι τούτων ἐνδεῶς ἔχον, οὐ τέλειον· οὐ προσισταμένων ἡμῖν οὐδὲν τῶν κατὰ τὰς ὑποστάσεις ἰδιοτήτων, ὡς ἡμεῖς τὸ θεῖον πρεσβεύομεν ἀληθῶς. Τέλειος οὖν ὤν, οὐκ ἂν πληθύνοιτο. ἐκσταίη γὰρ ἂν τῆς οἰκείας ἁπλότητος. πᾶν γὰρ τὸ πληθυνόμενον, ᾗ πληθύνεται, οὐχ ἁπλοῦν. διαφορᾷ γάρ τινι πληθύνεται. τὸ δὲ διαφορᾷ πληθυνόμενον, οὐχ ἁπλοῦν. ἀλλʼ οὐδὲ τέλειον. ᾗ γὰρ ἄλλου διαφέρει, ταύτῃ ἂν ἐκείνου ἐλλιπέστερον εἴη. οὓς δὲ Πλήθων εἰσάγει θεούς, διαφορᾷ τινι πάντως ἕτεροι ἀλλήλων ἔσονται. διαφορὰ δὲ τῆς ἁπλότητος καὶ τελειότητος ἀναιρετικόν. διαφέροιεν ἂν οὖν ἀλλήλων καὶ οὐσίᾳ καὶ δυνάμει καὶ ἐνεργείᾳ. ἄλλος οὖν ἄλλου ἐλλιπέστερος ἂν εἴη, καὶ πάντες πάντων, καὶ ἑπομένως καὶ ἀτελεῖς. τὸ δὲ ἀτελές, οὐ θεός. οὓς ἄρα Πλήθων εἰσάγει θεούς, οὐ θεοί. εἰ δὲ μὴ διαφέρουσιν ἀλλήλων, οὐκ ἂν εἶεν πολλοί. ὅπου γὰρ πλῆθος, ἀνάγκη καὶ διαφορὰν εἶναι. διαφορᾶς δὲ μὴ οὔσης, πλῆθος οὐκ ἔσται, τί οὖν ἕνα Πλήθων ἀφεὶς τὸν ἀληθῆ δοξάζειν θεόν, πλῆθος εἰσάγει θεῶν, οὓς αὐτό γε τοῦτο τὸ πλῆθος οὐ θεοὺς ἀποδείκνυσιν. ἔτι τὸ θεῖον ἄπειρον, κατά τε οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν, μᾶλλον δὲ ὑπεράπειρον. πάσης οὖν οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας περιληπτικόν, ὡς πάσης οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας ὑπερανῳκισμένον. καὶ οὐκ ἂν εἴη τι ἔξω τῆς αὐτοῦ οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας· οὐδʼ αὐτὸ

τὸ

perfectus. Qui nimirum superet omnem perfectionem: cui perfecta omnia debeant perfectionem, plena plenitudinem, vim quæ vi sunt prædita; cui nihil ad essentiam consummatam, nihil ad vim, nihil ad efficaciam desit. Nam quod harum aliqua mancum est, ne perfectum quidem: nihilque nobis obstant singularum rerum proprietates, quemadmodum nos Deum se habere vere docemus. Perfectus igitur cum sit, multiplicari non potest. Recederet enim à propria simplicitate. Nam multiplex omne, qua multiplex est, simplicitate caret, quoniam varietate quadam multiplicari necesse est. Sed, quod varietate multiplex est, simplex non est; Imo nec perfectum. Nam qua parte ab alio differt, ea mancum erit. Atqui Pletho quos inducit Deos, varietate quadam diversos esse invicem necesse est: tollit autem varietas simplicitatem & perfectionem: Different ergo invicem & essentia & vi & efficacia. Proinde alii deerit, quod est in alio, & singulis, quod in universis. Unde & mancos esse efficitur. Sed mancum nihil Deus est. Dii ergo non sunt, quos Pletho inducit. Quodsi differe neget, multi non erunt: siquidem cum omni multitudine varietas quædam conjuncta est, quæ ubi non est, ibi nec multitudo erit. Quid est igitur, cur uni veroque DEO gloriam Pletho deneget, multitudinem vero inducat Deorum, quos illa ipsa multitudo Deos non esse demonstrat? Porro infinitus est Deus & essentia & vi & efficacia; quin maxime infinitus. Omnem igitut essentiam vim & efficaciam in se cohibet, quia supra omnem essentiam vim atque efficaciam est collocatus: nec quicquam extra has ejus virtutes esse poterit; ne illud quidem ipsum, quod

extra

τὸ τὸ ἔξω. πάντα γὰρ καὶ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ. τὸ δὲ κυρίως ἄπειρον, οὐκ ἂν πληθύνοιτο, ἢ οὐκ ἂν ἄπειρον εἴη. τοῦ γὰρ κυρίως ἀπείρου ἔξω ἔσται οὐδέν. εἰ γὰρ καὶ ἀριθμὸς καὶ μέγεθος ἄπειρον· ἀλλ' οὐχ ἁπλῶς, οὐδὲ κυρίως, ἀλλὰ πῆ. εἰ οὖν πληθύνοιτο τὸ θεῖον, κἂν περαίνοιτο. διαφορᾷ γὰρ ἂν δήπου πληθύνοιτο. περαινόμενον δὲ οὐ περιλήψεται πάντα, οὗ γὰρ περαίνει, ἐκεῖ ἔσται τι ἔξω αὐτοῦ. μὴ πάντα δὲ περιλαμβάνον, οὐ πάντῃ πάντων διοίσει. εἰ γὰρ καὶ κατὰ μηδὲν ἄλλο, κατά γε τὸ περαίνεσθαι, ἀδιαφόρως ἕξει πρὸς πάντα. τὸ δὲ τοιοῦτον, ἓν τῶν πάντων. τὸ δὲ τῶν πάντων ἓν, οὐ θεός. οὐκ ἂν οὖν πληθύνοιτο τὸ θεῖον. εἰ δὲ πληθύνοιτο, οὐκ ἂν θεὸς εἴη, ἐπεὶ πολλὰ εἶναι τὰ κυρίως καὶ ἁπλῶς ἄπειρα, οὐκ ἐνδέχεται. ἀλλ' ἓν ἐξ ἀνάγκης τὸ κυρίως ἄπειρον, καὶ ἑπομένως τὸ θεῖον. ἄθεος οὖν Πλήθων, οὐχ ἕνα θεὸν, ἀλλὰ πληθὺν δοξάζων θεῶν, οἷς πολλοῖς οὖσιν, οὐ μετέσται τοῦ ἀπείρου, κατ' οὐδὲν τῶν τοῦ ἀπείρου σημαινομένων, ὅσαπερ ἐπὶ θεοῦ λέγεται. μὴ μετὸν δέ μηδαμῶς αὐτοῖς τοῦ ἀπείρου, οὐδὲ τοῖς θεοῖς εἶναι μετέσται, οὔθ' ὁμοῦ πᾶσιν οὔθ' ἑκάστῳ ἰδίᾳ. εἰ δ' ἑνὶ προσείη ἡ ἀπειρία, μᾶλλον δὲ, εἰ ἓν εἴη τὸ ἄπειρον, οὕτω γὰρ βέλτιον λέγειν, ἐκεῖνο ἂν εἴη θεός. καὶ μάτην λοιπὸν πολλοὺς ἐπιφημίζει Πλήθων θεούς. καὶ μὴν καὶ ἀγαθὸς ὁ θεὸς, καὶ ἄκρως ἀγαθός· παρ' οὗ πάντα, καὶ οὗ ἐφίεται πάντα, καὶ εἰς ὃν ἐπιτέτραπται πάντα, τὰ ὄντα τῷ εἶναι, τὰ αἰσθανόμενα τῷ αἰσθάνεσθαι, τῷ νοεῖν τὰ νοοῦντα, ἁπλῶς ἕκαστον τῷ εἶναι, καὶ ὡς ἔχει τὸ εἶναι. ἄκρως δὲ

ἀγαθὸν

extra est, quandoquidem omnia ex ipso, per ipsum, & in ipso sunt. Jam quod proprie infinitum est, aut multiplicari non potest, aut certe infinitum non est: siquidem nihil extra illud esse poterit. Et licet etiam numerus & magnitudo infinita sint, tamen non prorsus, nec proprie sunt, sed aliquo modo. Quare, si multiplex Deus, etiam finitus: varietate enim multiplicabitur. Finitus vero si sit, non complectetur omnia: ubi enim finitur, ibi quiddam extra ipsum erit. Quod vero non omnia complectitur, id nec omnibus omnino antecellet: nam si alia quadam in re, illa certe nihil præstabit reliquis omnibus, ut limitibus circumscribatur. Sed ejusmodi quid hujus universi pars est, & quod pars est hujus universi, Deus non est. Non ergo simul multiplicari potest Deus, & Deus esse. Nam fieri nequit, ut multa sint proprie & plane infinita, sed unum est necessario proprie infinitum, adeoque Deus. Atheus igitur est Pletho, qui non unum Deum, sed multitudinem prædicet Deorum, qui multi cum sint, de infinitate nihil participabunt, ullo in significatu infiniti, qui de Deo dici soleat. Sed infinitatem dum prorsus non participant, neque naturam participabunt divinam vel universi vel singuli. Quodsi autem in uno insit infinitio, vel potius, si unus sit infinitus, nam sic loqui præstat, hic ipse Deus foret, & vel sic frustra multos Pletho laudaret Deos. Porro bonus est Deus, quin summe bonus, à quo sunt omnia, quem desiderant omnia, ad quem convertuntur omnia, essentia quæ sunt, sentientia sensibus, ratione utentia ratione, intelligentia intellectu, generatim singula eo quod sint, & quod illo quo sunt, modo sint. Jam vero

ἀγαθὸν τὸ ἁπλῶς ἀγαθὸν, οὐ τὸ πῆ. οὔτε γὰρ τὸ πρός τι, οὔτε τὸ ἐπί τι, οὔτε τὸ ποτὲ, οὐθ' ὅλως τῶν τοιούτων οὐδὲν ἁπλῶς οὐδὲ κυρίως ἀγαθόν. τὸ δὲ τοιοῦτον, ἓν ἀνάγκη καὶ αὐτὸ εἶναι. εἰ γὰρ εἴη πολλὰ, διαφορᾷ τινι πολλὰ ἔσται. μὴ διαφέροντα γὰρ, ἓν ἀλλ' οὐ πολλά. ὃ δὲ ἀγαθὸν ἀγαθοῦ διαφορᾷ ἐστιν ἀγαθὸν, οὐχ ἁπλῶς ἀγαθὸν, ἀλλὰ πῆ ἀγαθόν. τῷ δὲ πῆ ἀγαθῷ οὐ προσήκει εἶναι Θεῷ. οὐ γὰρ αὐτὸ ἔσται, οὗ ἂν ἐφίοιτο πάντα. οὓς οὖν Πλήθων εἰσάγει Θεοὺς, καὶ δοθέντος εἶναί τι, καὶ ἀγαθοὺς εἶναι, ἀλλ' οὐχ ἁπλῶς ἂν εἶεν ἀγαθοί. διαφορᾷ γὰρ ἔσονται ἀγαθοὶ, καθ' ἣν καὶ πολλοί εἰσι δήπου. μὴ ἁπλῶς δὲ ὄντες ἀγαθοὶ, οὐδὲ ἀγαθοὶ οὐδὲ Θεοὶ ἂν εἶεν. οὐδεὶς γὰρ ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός. οὓς οὖν Θεοὺς εἰσάγει Πλήθων, οὐ Θεοὶ, κἂν εἴ τι τῶν ὄντων ὅλως εἶναι δοθεῖεν. εἷς μὲν δὴ Θεὸς ὁ ἀληθὴς κατὰ τὴν ἡμετέραν δύναμιν, ἱκανῶς ἡμῖν ἐκ τῶν λόγων τῶνδε ἀποδεδείχθω· τέλειος, ὑπερτελής· ἀγαθὸς, ὑπεράγαθος· παντοδύναμος, ἀπειροδύναμος· ἄτρεπτος, ἀεὶ ὡσαύτως ἔχων. τὸ δ' ἄτρεπτόν τε καὶ ἀμετάβλητον ὡς ἔχει καταθεασώμεθα. ὅτι μὲν οὖν ταυτὸν οἴεται Πλήθων ἐπὶ Θεοῦ, τό τε γινώσκειν τὰ μέλλοντα, καὶ τὸ ἀποτελεῖν αὐτὰ, δῆλον. φησὶ γάρ· πολὺ δ' ἔτι μᾶλλον ἀδύνατον, εἰ τοὺς Θεούς τις λέγοι μεταβάλλεσθαι περὶ τὰ σφίσιν ὑπὲρ τῶν μελλόντων ἐγνωσμένα, καὶ ἕτερ' ἄττα, παρ' ἃ ἐμέλλησαν ἀποτελεῖν. ὅτι δὲ οὐ ταυτόν ἐστιν, ὧδ' ἂν καταφανὲς ἡμῖν γένοιτο. ἡ γὰρ Θεοῦ

γνῶ-

summe bonum illud est, quod prorsus bonum est, non quod aliquo modo. quoniam nihil, quod tantum erga aliquid, vel ad aliquid, vel aliquando, vel alia simili ratione bonum est, prorsus & proprie bonum dici poterit. Sed hujusmodi quid unum esse necesse est. Nam si in plura divideretur, varietate quadam divideretur. Quæ enim non differunt, unum sunt, non plura. At quod ita bonum est, ut simul ab aliis bonis differat, non est prorsus, sed aliqua tantum ex parte bonum. Sed ei, quod ex parte tantum bonum est, non convenit esse Deo, quoniam non erit illud ipsum, cujus teneantur omnia desiderio. Proinde quos introducit Pletho Deos, illi, si vel concedantur esse, & boni esse, prorsus tamen boni esse nequeunt, quoniam cum varietate boni erunt, secundum quam & multi sunt. Sed prorsus boni dum non sunt, nec boni erunt, nec Dii. Nemo enim bonus est præter unum illum Deum. Dii ergo non sunt, quos inducit Pletho, ne si dederit quidem aliquis, habere illos omnino cum aliis naturam. Unus ergo verus Deus, quantum fieri potuit, affatim nobis his rationibus maneat ostensus: Perfectus, summe perfectus, bonus, summe bonus, absoluta infinitaque potentia, immutabilis, eodemque semper se habens modo. Jam vero, quæ ratio sit constantiæ & immutabilitatis, penitius consideremus. Etenim quod idem in Deo putet Pletho esse, & cognoscere futura, & perficere, manifestum est. Nam multo, inquit, minus fieri potest, ut quis Deos mutare dicat consilia in iis, quæ semel de futuris decreverunt, aut quædam præter ea, quæ habebant in animo, perficere. Quod vero non redeant hæc eodem, hunc in modum poterit doceri. Dei nimirum

γνῶσις οὐ κατὰ τὴν ἡμετέραν ἐστί τε καὶ λέγεται γνῶσιν. οὐ γὰρ τῷ δεκτικὸς εἶναι γινώσκει ὁ Θεός. ἢ γὰρ ἂν πρὸς τῷ μὴ ἀπαθὴς εἶναι, καὶ τοῦ ἐναντίου δεκτικὸς ἂν ἦν, τῆς ἀγνωσίας. ἀλλὰ κατά τινα τρόπον ὑψηλότερόν τε καὶ θεῖον, καὶ ἡμῖν ἄρρητον, καὶ γνώσει οὐ περιληπτόν. τοσοῦτον μέντοι ληπτόν ἐστιν ἡμῖν, ὡς τῇ ἀγαθότητι τοῦ Θεοῦ καὶ τῇ ἀπειρίᾳ, καὶ ἡ γνῶσις συνεπεκτείνεται· καὶ ὡς οὐκ ἂν τῆς ἀπειρίας ἢ τῆς ἀγαθότητος ἐφικοίμεθα, οὕτως οὐδὲ τῆς γνώσεως. οὐκ ἂν οὖν ἔχοιμεν, τί τε καὶ ὡς ἕκαστον ἐστὶ τούτων, εἰπεῖν· ἀλλὰ τὸ εἶναι μόνον κατανοοῦντες, τὸ τί καὶ πῶς εἶναι, οὐδὲ πολυπραγμονοῦμεν. ἀνίχνευτα γὰρ ἀνερευνῶντες ἐσόμεθα, καὶ γραφὴν ἀσεβείας διώκοι ἄν τις καὶ δικαίως ἡμᾶς, τὰ τὴν ἡμετέραν ὑπερβαίνοντα δύναμιν, καὶ ἅπερ οὐκ ἐφεῖται, ὑψηλότερα γάρ σου φησὶ μὴ ἐρεύνα, ταῦτα δὴ καὶ ὅλως ἀνιχνεύειν τολμῶντας. ἄπειρος οὖν ἡ τοῦ Θεοῦ γνῶσις, καὶ ἀόριστος, ὡς οὕτως εἰπεῖν· ὡς ὑπὲρ πᾶν πέρας, καὶ ὑπὲρ πάντα ὅρον· καὶ περατοῦσα τὰ περατούμενα, καὶ ὁρίζουσα τὰ πεφυκότα ὁρίζεσθαι· μᾶλλον δὲ ὑπεράπειρός τε καὶ ὑπεραόριστος, ὡς πᾶσαν ἀπειρίαν ὑπερβαίνουσα, καὶ πᾶσαν ἀοριστίαν, καὶ οὐκ ἂν δέοιτο οὐδενὸς χρόνου, οὐχ ὅτι πρὸς τὸ γινώσκειν, ἀλλ' οὐδὲ πρὸς τὸ ποιεῖν. ὅθεν οὐδὲ μέλλον οὐδὲν παρ' αὐτῷ, ἀλλ' ἐνεστῶτα πάντα, καὶ ὑπὲρ τὸ ἐνεστός· οὐδὲ πρόγνωσις παρ' αὐτῷ, ἀλλὰ γνῶσις ἁπλῶς, καὶ ὑπὲρ γνῶσιν. μέλλον δὲ καὶ πρόγνωσις, πρὸς ἡμᾶς τε καὶ τὰ ὑπὸ τὴν ἡμετέραν πίπτοντα γνῶσιν, οἵπερ καὶ ἐν χρόνῳ ἐσμέν,

καὶ

rum cognitio non eadem, qua nostra se habet diciturve ratione. Nec enim cognoscit propterea, quod capax sit. Ita enim non solum non omnis forte scientiæ, sed & contrarii capax foret, inscientiæ scilicet. Sed intelligit Deus modo quodam altiori & divino, quem nec verbis assequi, nec animo comprehendere possumus. Tantum capimus, quod cognitio divina non intra bonitatem sit aut infinitatem, quodque ut bonitatem & infinitatem, ita nec cognitionem Dei attingere mente possimus. Proinde neque habemus, quid sit & quale horum quodque, dicere; sed perspicientes quod sit, quid & quale sit nolumus vana curiositate scrutari. Nam ea indagaremus, quæ consequi non possumus, & merito quis nobis scriberet impietatis dicam, quod ea quæ vim nostram superant, quæque affectasse nefas est, siquidem altiora te rimari proverbium vetat, illa inquam vel investigare ausi essemus. Infinita ergo est, & ut ita loquar, nullo modo definita cognitio divina: quæ nimirum omnem finem omnemque terminum excedit, ipsa vero limites imponit finitis, & quæ definiri possunt, definit. Quin augustior adhuc, quam infinita aut prorsus non definita debet haberi, quia speciem omnem infiniti nullisque circumscripti limitibus supergreditur, neque tempore indiget ullo, non solum ad cognoscendum, sed ne ad agendum quidem. Unde neque futurum quicquam est apud Deum, sed præsentia omnia, & magis quam præsentia, neque scientia antegressa, sed cognitio simplex, quin altius quid cognitione. Futurum autem & cognitio antecedens respectu nostri dicuntur, & eorum, quæ sciri a nobis possunt, qui scilicet & in tempore vivimus,

καὶ ἄνευ χρόνου οὐδὲ κινηθείημεν ἄν. οὐ μέλλον οὖν οὐδὲ οὐδὲ πρόγνωσις περὶ τῷ Θεῷ. ἢ πῶς ἂν ἐν χρόνῳ γινώσκοι τὸ ὑπὲρ χρόνον, πῶς δὲ ἂν ἐν χρόνῳ ποιοῖ τὸ χρόνου ποιητικόν; εἰ δὲ καὶ μέλλον ἐπὶ τῆς θείας γνώσεως ἐσθ' ὅτε καὶ πρόγνωσις εὐσεβῶς λέγεται, ἀλλ' ἐκ τῶν καθ' ἡμᾶς ταῦτα, καὶ πρὸς τοὺς καθ' ἡμᾶς· ἐπείπερ ἀμήχανον, ἀνθρώπους ἀνθρώποις ἄλλως διαλεχθῆναι, μὴ ἐκ τῶν καθ' ἡμᾶς πρὸς τὰ ὑπὲρ ἡμᾶς ἀνατεινομένους καὶ ἀνατείνοντας. ἄπειρος οὖν ἡ τοῦ Θεοῦ γνῶσις, ὡς εἴρηται, καὶ ἀόριστος· οὐχ ἑαυτῷ, ἀλλ' ἡμῖν· καὶ οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ πάσαις ταῖς νοεραῖς τε καὶ ἀγγελικαῖς φύσεσιν. εἰ οὖν ταυτὸν εἴη τὸ γινώσκειν τῷ ποιεῖν, συνεκτείνοιτ' ἂν τῇ γνώσει ἡ ποίησις. ἄπειρος δὲ ἡ γνῶσις. ἄπειρος ἄρα καὶ ἡ ποίησις. ἀλλ' οὐκ ἄπειρος ἡ ποίησις. τὰ γὰρ ὄντα πεπέρασαι. οὐκ ἄρα ταυτὸν ἐπὶ Θεοῦ γνῶσις καὶ ποίησις. εἰ δὲ φαίη τις, ἀπείρως ἔχειν ἐπὶ Θεοῦ καὶ τὴν ποίησιν, εἰ καὶ τὰ ὄντα πεπέρασαι, ἄλλης οὗτος θεωρίας ὁ λόγος, καὶ οὐδὲν πρὸς ἡμᾶς, ὅσα γε ἐν τῷ παρόντι, τὰ ὄντα ὡς ἔχει λογιζομένους. ἔτι εἰ ταυτὸν ἐπὶ Θεοῦ γνῶσις καὶ ποίησις, γίνεται δ' ἐν τῷ παντὶ, οὐ μόνον τέλεια, ἀλλὰ πολλὰ καὶ ἀτελῆ, κἂν ἡ τοῦ Θεοῦ γνῶσις ἀτελὴς εἴη· ὡσαύτως δὲ καὶ ἡ ποίησις. ἀλλ' ἄτοπον. ἀναιρεῖται γὰρ οὕτω τοῦ Θεοῦ τὸ τέλειόν τε καὶ παντοδύναμον· καὶ μὴν καὶ τὸ ἀγαθόν. τὸ γὰρ ἀτελὲς οὐκ ἐν τῇ τοῦ ἀγαθοῦ

μοίρᾳ

& absque tempore ne moveri quidem possemus. Nihil ergo est futurum, nulla notitia præcurrens apud Deum: aut qui tandem posset ille in tempore nosse, quæ tempus excedunt, vel quomodo in tempore produceret illa ipsa, quæ tempus efficiunt? Si quando autem futurum & cognitio antegressa caste tribuuntur cognitioni divinæ, dicitur id more humano, & ad homines: quoniam fieri nequit, ut aliter cogitationes homini homo significet, cum nos quidem à rebus humanis, ad ea quæ supra nos sunt, evehi aut nos erigere non possimus. Infinita ergo est, ut diximus, nullisque circumscripta limitibus cognitio divina; non quidem sibimet ipsi, verùm nobis: & non nobis solum, sed omnibus etiam intelligenti & angelica præditis natura. Quodsi itaque idem esset in Deo, nosse & facere, sane quorsum cognitio, eodem & efficientia porrigeretur. Atqui infinita est cognitio. Infinita ergo & efficientia. Sed efficientia infinita non est, quoniam rerum natura suis coercetur terminis. Ergo non idem sunt in Deo nosse & operari. Si quis autem infinitam illam esse in Deo efficientiam dixerit, utut rerum natura finita sit, illa quidem ratio hujus loci non erit, nihilque faciet ad istud, quod in manibus habemus, argumentum, dum res ipsas quales sint consideramus. Præterea, si unum est apud Deum, nosse & efficere, atque in rerum natura fiunt non perfecta solum, sed & imperfecta multa, efficitur, etiam cognitionem divinam imperfectam esse, juxta & efficientiam. Sed hoc est absurdum: Tollitur enim hac ratione perfectio Dei & absoluta potentia. Quin & bonitas tollitur: siquidem imperfecta quæ sunt, nullam habent cum bono societatem.

μοίρα. τὰ γὰρ ἄλλα παρίημι, ὅσαπερ ὁρῶμεν ἐν τῷ κόσμῳ γινόμενα. ἅπερ εἰ μὲν οὐ γινώσκει θεὸς, ἔσαι τινὰ τῆς αὐτοῦ διαφεύγοντα γνῶσιν. εἰ δὲ γινώσκει, ταυτὸν δὲ τὸ γινώσκειν τῷ ἀποτελεῖν, ὡς βούλεται Πλήθων, οὐκ ἀγαθῶν μόνον, ἀλλὰ καὶ μὴ ἀγαθῶν αἴτιος ὁ θεός. τράποιτο δ' ἐς κεφαλὴν ἡ βλασφημία τοῦ τῶν λόγων τῶνδε αἰτίου. οὐκ ἄρα ταυτὸν ἐπὶ Θεοῦ τὸ γινώσκειν τῷ ποιεῖν, ἀλλ' ἐπιπλέον τοῦ ἑτέρου τὸ ἕτερον, τὸ γινώσκειν τοῦ ποιεῖν. ὃ μὲν γὰρ ποιεῖ, καὶ γινώσκει, οὐχ ὃ δὲ γινώσκει, πάντως καὶ ποιεῖ. γινώσκει γὰρ δὴ καὶ τὰ ἐφ' ἡμῖν, οὐ ποιεῖ δὲ, ἢ οὐκέτι λοιπὸν ἔσαι τὸ ἐφ' ἡμῖν. εἰ γὰρ καὶ τούτων αὐτὸς αἴτιος, πῶς τὸ ἐφ' ἡμῖν; πῶς δὲ ὅλως ἀρετὴ καὶ κακία; οὐ γὰρ ἑκόντες περὶ οὐδέτερον ἂν ἔχοιμεν, ἀλλ' ἀνάγκῃ τινὶ καὶ βίᾳ περὶ ἑκάτερον. ἄτοπον δὲ καὶ τὸ τὴν ἐν τοῖς γινομένοις μεταβολὴν ἐπὶ τὸν τῶν ὅλων ἀναφέρειν δημιουργὸν, καὶ συμμεταβάλλεσθαι αὐτὸν νομίζειν τοῖς πράγμασιν· ἢ τοῦτο εὐλαβούμενον, πάντων ἀναγκαίως αἰτιᾶσθαι τὸν ποιητὴν, καὶ τὴν τοῦ ἐνδεχομένου φύσιν ἐκ μέσου ποιεῖν, ἀνατιθέντα πάντα Διῒ καὶ εἱμαρμένῃ, καὶ θεοῖς, οἷς μέχρι τοῦ ὀνόματος ψιλοῦ τὸ θεοῖς εἶναι, πλὴν ὅσον ἔδοξε Πλήθωνι. μένει γὰρ ὁ θεὸς ἐπὶ τῆς ἰδίας ἀμεταβλησίας τε καὶ ἁπλότητος, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων, καὶ γινώσκων ἀρρήτως ὡς γίνεται ἕκαστα· μεταβάλλει δὲ τὰ πράγματα παντοίως, αὐτὰ πάσχοντα, οὐ πάθος οὐδὲν ἐμποιοῦντα τῷ δημιουργῷ θεῷ. ὡς καὶ ὁ ἥλιος ἐπὶ τῆς ἰδίας μένων ἁπλότητος, μιᾷ καὶ τῇ αὐτῇ ἀκτῖνι διαφόρους ἐνεργείας τε καὶ πάθη ἀποτελεῖ.

tatem. Nam quæ fieri alia in mundo videmus, prætereo. Quæ si ignorat Deus, erunt nonnulla, quæ ejus cognitionem fugiant; si autem novit, nosse vero & perficere eodem redeunt apud Deum, ut Plethoni placet, non bonorum modo, sed & malorum causa Deus erit: Quæ quidem calumnia recidat in caput istius, qui rationes hasce commentus est. Non igitur promiscua sunt in Deo, nosse & efficere, sed alterum altero latius patet, notitia scilicet effectione. Quicquid ergo facit, id omne novit; non autem, quod novit, id omnino facit. Novit enim & illa, quæ sita sunt in nobis, sed non efficit, vel non amplius quicquam esse in nobis statuendum est. Nam si horum etiam causa Deo tribuenda, quid fiet de omni hoc, quod in nostra potestate est, quid de virtute quoque omni ac vitio? Nam ad neutrum sponte ferremur, sed ad alterutrum eorum vi quadam raperemur & necessitate. Præterea ineptum est, mutationes, quæ rebus accidunt, ad mundi opificem referre velle, vel eandem existimare illum cum rebus subire vicissitudinem: aut si id metuas, omnia necessario imputare conditori, & res ancipitis eventus tollere prorsus e medio, assignando omnia Jovi ac fato, quibus præter tenue nomen divinitatis nihil, nisi, quatenus id Plethoni visum est. Perstat enim Deus in sua immutabilitate ac simplicitate, manetque semper idem, eodemque in statu, & cognoscit modo incomprehenso, qua singula fiant ratione; At res mutantur perpetuo, ac patiuntur, neque ullam imponunt opifici Deo ferendi aliquid aut patiendi necessitatem. Quemadmodum & sol, suam conservans simplicitatem, uno & eodem radio variam edit efficientiam, va-

τελεῖ. καὶ τήκει μὲν τὸν κηρὸν, ξηραίνει δὲ τὸν πηλόν. Φωτίζει τε τοὺς τὴν ὄψιν ὑγιῶς ἔχοντας, καὶ τοὺς σκαρδαμύττοντας τυφλώττειν ποιεῖ, οὐκ αὐτὸς οὐδὲν πάσχων, τῶν δὲ τὴν ἀκτῖνα δεχομένων ἑκάστων ἕκαστα κατὰ τὰς ἰδίας διαθέσεις ὑφισταμένων. καὶ τὸ λειτουργικὸν δὲ τοῦτο πῦρ, οὗ ἄνευ οὐκ ἂν συσταίη βίος ἀνθρώπινος, ἐπὶ τῆς ἰδίας καὶ αὐτὸ μένον ἁπλότητος, πολλὰ τοιαῦτα ἀποτελεῖ. μαλάσσον μὲν τὸν σίδηρον, καὶ ἴσα καὶ κηρῷ πρὸς τὸ τοῦ χαλκεύοντος ἐλαῦνον αὐτὸν βούλημα, ταῖς σφυροτυπίαις· ξηραῖνον δὲ καὶ αὐτὸ τὸν πηλὸν, ἴσα τῷ ἡλίῳ, καὶ εἰς λιθώδη μεταπηγνύον ἀντιτυπίαν, ὄστρακον καλεῖσθαι τότε παρασκευάζον ἀντὶ πηλοῦ. χρυσὸν δὲ καὶ ἄργυρον, χαλκόν τε καὶ μόλυβδον, καὶ τὰ παραπλήσια, εἰς ὑδατώδη μετασχηματίζον λειότητα. ἢ οὐδὲ τῷ αἰσθητῷ τούτῳ φωτὶ, τῷ ἰδίῳ δημιουργήματι, τὸν νοητὸν ἥλιον, τὰ ἴσα δύνασθαι δώσομεν; ἀλλ' οὗτος μὲν τὰ ὑπ' αὐτὸν φωτίζων, ἀπαθῶς αὐτὸς ἕξει, ἐκεῖνος δὲ τοῖς πάσχουσι συμπείσεταί τε καὶ συμμεταβληθήσεται. καὶ τὸ λειτουργικὸν τοῦτο πῦρ ἕξει τι πλέον, τοῦ δημιουργοῦ τοῦ πυρός; ἀποτρέπει δὲ Πλήθων καὶ λιτανεύειν τὸ θεῖον, καὶ δῶρα καὶ θυσίας ἀναφέρειν αὐτῷ, μόνον οὐχὶ βοῶν οὕτως. ἄνθρωποι! τί μάτην πονεῖσθε περὶ τὰς λιτὰς, τί δ' εἰς κενὸν δῶρα καὶ θυσίας ἀναπέμπετε τῷ θεῷ; οὐ προσέχει ὑμῖν· οὐκ ὠφελεῖσθε τῶν δώρων· οὐ γίνεται ὑμῖν ἵλεως, οὐδ' ἐπικάμπτεται ταῖς λιταῖς· ἃ καθάπαξ ὑμῖν ἔγνω, ταῦτα ἔσται θύουσί τε καὶ μή· οὐ φιλανθρωπεύεται, οὐδὲ χρηστὸς ὑμῖν οὐδαμῶς γίνεται· εἰ χρηστὰ ὑμῖν εἵμαρται,

χρη-

riasque producit affectiones. Efficit enim ut liquescat cera, lutum contra fiat aridum: Illustrat eos, quibus sanus est visus, iis autem, qui hebeta sunt oculorum acie, causa est, cur coecutiant. Ipse interim patitur nihil, sed quæ radios excipiunt corpora singula, ista pro sua quælibet natura sustinent. Etiam hic, qui nobis usui est ignis, quo sine nec vitæ ratio constaret hominibus, quanquam idem semper simplexque maneat, ejus tamen generis multa perficit. Emollit enim ferrum, & non aliter ac ceram commutabile reddit ad fabri ferrarii ictus. Rursus lutum, æque ac sol reddit aridum, convertitque in lapidosam duritiem, & efficitur, testatum pro luto vocari possit. Aurum etiam argentumque, aes ac plumbum, in liquorem aquæ similem convertit. An vero ne soli quidem isti, qui mente tantum potest intelligi, parem tribuemus potentiam, atque huic igni, qui illius opus est, & sensu percipitur? Vel hunc dicemus affundere rebus sub se positis lucem, ut nihil inde patiatur, illum autem cum patientibus una pati atque mutari; quin ignem hunc ministrum aliquid possidere majus, quam qui ignem effecit? Sed & vetat Pletho preces adhibere Deo, donaque & sacrificia eidem offerre, atque tantum non ita vociferatur: Quid tandem, O homines! frustra laboratis in fundendis precibus, quidve in donis & sacrificiis offerendis Deo luditis operam? Non animadvertit vos: Nihil juvamini donis: Non fit vobis propitius, neque flectitur precibus: Quæ semel ut vobis obtingerent decrevit, illa & facientibus rem divinam obtingent, & non facientibus: Non præbet se humanum vobis aut benignum ulla ratione: Si læta vobis evenire fatum fit,

χρηστῶν τεύξεσθε, κἂν θύητε, κἂν μὴ θύητε· εἰ φαῦλα, φαύλων· μὴ δὴ πονεῖσθε μάτην περὶ τὸ λιτανεύειν καὶ θύειν. ταῦτα μονονουχὶ βοᾷ, εἰς ἀθείαν προτρεπόμενος ἅπαντας. ἣν αὐτὸς δεινῶς ἐνόσησε νόσον, ταύτῃ περιβάλλειν ἐπιχειρῶν ἅπαντας. ἀλλ' ἐκεῖνος μὲν τὰ τῆς ἰδίας ἀσεβείας ἐπίχειρα δεχέσθω ἐν ἡμέρᾳ ἐπαγωγῆς καὶ δικαιοκρισίας θεοῦ. ἡμεῖς δὲ τῆς ἐκείνου καθαρεύοντες λύμης, θύωμεν τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ τῷ ὑψίστῳ τὰς εὐχὰς ἀποδῶμεν, εἴ πως ἐφ' οἷς ἀεὶ πλημμελοῦμεν, ἵλεως ἡμῖν γένοιτο· οὐ μεταβάλλων ἐκεῖνος. χρηστὸς γὰρ ἀεὶ, καὶ χρηστὰ βουλόμενος πᾶσι, καὶ μετὰ χρηστότητος, ἀνακαλούμενος εἰς μετάνοιαν, καὶ τῷ μαστίζειν ὡς πατὴρ υἱοὺς, τῶν πατρικῶν ὑπεξαγομένους ἐπιταγμάτων, εἰς ἐπίγνωσιν αὐτοῦ ἀνακτώμενος· ἀλλ' ἡμῶν ἐκ χείρονος τὸ βέλτιον ἀλλαττομένων, καὶ οἰκειούντων αὐτοὺς, ὥσπερ οἰκειοῦν ἐτάχθημέν τε καὶ ἐπετράπημεν. θύωμεν οὖν ἀεὶ τῷ θεῷ θυσίαν αἰνέσεως, ἄλλου τε παντὸς καθαρεύοντες πάθους, καὶ τὴν περὶ τῆς εἱμαρμένης πονηροτάτην καὶ ἀσεβεστάτην Πλήθωνος ἀποτρεπόμενοι παντάπασι δόξαν· οὐ δεδιότες, ὥς φησι Πλήθων, μὴ τὴν εἱμαρμένην ἀναιροῦντες, συνανέλωμεν καὶ τὴν πρόνοιαν, ὧδέ πη λέγων. „κινδυνεύουσι γὰρ οἱ τὴν περὶ τῶν ἐσομένων ἀνάγκην τε καὶ εἱμαρμένην ἀναιροῦντες, ἢ καὶ τῆς προνοίας τῶν τῇδε ἐκβάλλειν τοὺς θεοὺς, ἢ καὶ τὴν τῶν χειρόνων αὐτοῖς αἰτίαν ἀντὶ τῶν ἐκ τῶν δυνατῶν βελτίστων περιάπτειν· ἀμήχανον ἂν μὴ οὐ θάτερα ἀεὶ, ἤτοι τὰ πρότερον ἢ ὕστερον αὐτοῖς ἐγνωσμένα, χείρω τῶν ἑτέρων εἶναι. ὥστε τοῖν δυοῖν ἂν τούτοιν ἀσεβημάτοιν θατέρῳ πάντως τοὺς τὴν εἱμαρμένην ἀναιροῦντας περιπίπτειν. καθαρεύωμεν τοίνυν καὶ τῆς κατὰ τὴν εἱμαρμένην ἀσεβείας.

οὐ

læta evenient, sive vos feceritis sacra, sive non feceritis; infausta contra, si infausta: Quare nolite in precibus & sacrificiis operam consumere. Hæc, inquam, tantum non vociferatur, hortatus omnes ad improbitatem, tentansque, cum quo graviter ipse laborat morbum, omnibus affricare. At illum quidem exspectent nequitiæ ipsius pœnæ, in die isto qui irrumpet, & quo jus dicet Deus. Nos autem ejus purgati sordibus offeramus Deo sacrificium laudis, & eundem imploremus, ut eorum, quæ perpetuo delinquimus, gratiam nobis faciat; non quidem, quasi mutari debeat, siquidem semper benignus est, beneque omnibus cupit, & cum bonitate revocat ad frugem, nosque, ubi paternis ejus præceptis nos subtraximus, castigans ut liberos pater, ad sui agnitionem reducit; Verum ita, ut nos ipsi vitia, emendemus virtutibus, ac ita conciliemus Deum, quemadmodum vel præceptum est vel permissum. Offeramus igitur Deo perenne laudis sacrificium, puri tum alius omnis flagitii, tum pessimam hanc ac maxime impiam de fato sententiam prorsus à nobis removentes: neque vereamur, ne, ut ait Plethо, fato sublato, providentiam quoque una tollamus, quando sic fere loquitur. „ Versantur enim „ qui fatum tollunt in periculo, ne vel de provi- „ dentia dejiciant Deos, vel pejora potius omnia, „ quam eorum quæ fieri possunt optima, ipsis assi- „ gnent. Cum fieri aliter non possit, quin alteru- „ trum semper, vel id quod primo, vel quod po- „ stremo decreverunt, altero sit deterius. Ut pro- „ inde in alterum horum flagitiorum, ii qui fatum „ tollunt, necessario incidant. Simus itaque puri profanæ de fato sententiæ, neque vereamur, ne sub-

οὐ δεδιότες, μὴ τὴν εἱμαρμένην ἀναιροῦντες, συνανέλωμεν καὶ τὴν πρόνοιαν· ἀλλὰ τὸ ἀνάπαλιν, μὴ τὴν εἱμαρμένην τιθέντες, ἑαυτοὺς ἀποσχοινίσωμεν τῆς προνοίας, ἀνάγκῃ δουλεύοντες καὶ εἱμαρμένῃ, πλὴν τῶν ὀνομάτων, οὐδὲν οὖσι καθ' ἑαυτά. πῶς γὰρ δουλεύων τις ἀνάγκῃ καὶ εἱμαρμένῃ, τὴν πρόνοιαν οὐκ ἀνελεῖ; ἢ ὅτι ταυτὸν τῇ εἱμαρμένῃ ἡ πρόνοια; ἀλλ' οὐ ταυτόν· ἄλλος γὰρ δὴ λόγος εἱμαρμένης, καὶ ἄλλος προνοίας, οὐ κατὰ τὸ ὄνομα μόνον, ἀλλὰ πολλῷ πρότερον καὶ κατὰ τὸ πρᾶγμα, ὡς πᾶσι δῆλον ἐστίν. ὧν δὲ οἱ λόγοι διάφοροι, καὶ αὐτὰ διάφορα· τὸ μὲν γὰρ οἷον προνοεῖν ἐστι, ταυτὸν δ' εἰπεῖν ἐνεργεῖν. τὸ δ' οἷον εἱρμῷ τινι οὕτως ἔχειν, ταυτὸν δ' εἰπεῖν πάσχειν, ἢ ὡς ἄν τις ἄλλως βούλοιτο λέγειν. πλήνγε δῆλον ὡς ἑκατέρου λόγον ἀποδώσει διάφορον. ἀλλὰ ταυτὸν μὲν οὐκ ἂν εἴη διὰ ταῦτα, μή ποτε δ' ἐκ τοῦ ἑτέρου τὸ ἕτερον, ὡς θατέρῳ θάτερον συναναιρεῖσθαι καὶ συνεισάγεσθαι, ὅς δὴ λόγος αἰτιατοῦ καὶ αἰτίου; ἀλλὰ τοῦτο πῶς· πότερον ἐξ εἱμαρμένης ἡ πρόνοια, ἢ τὸ ἀνάπαλιν ἐκ τῆς προνοίας ἡ εἱμαρμένη; ἀλλὰ τὸ μὲν τὴν εἱμαρμένην ἐκ τῆς προνοίας εἶναι, οὐδὲ αὐτὸς ἂν δήπου συγχωρήσειε Πλήθων, τὴν εἱμαρμένην πάντων ὑπερτιθεὶς, καὶ αὐτὴν αἰτίαν ἀποφαινόμενος πάντων· εἰ μὴ τῶν ἄλλων φαίη, πλὴν μόνης προνοίας. ἀλλὰ καὶ οὕτως ἕτερον πρόνοια εἱμαρμένης, καὶ πρόνοια ἡ πάντων αἰτία οὐχ εἱμαρμένη. λείπεται δὴ ἐξ εἱμαρμένης εἶναι τὴν πρόνοιαν. ἀλλὰ τοῦτο, οὔτε αὐτὸ τὸ τῆς προνοίας ὄνομα συγχωρεῖ, προνόησίν τινα σημαῖνον, καὶ τὸν προνοοῦντα συνεισφέρον ἀκολούθως. ἡ δ' εἱμαρμένη οὐχ οἷον τὸ προνοοῦν, οὔτε Πλήθων αὐτὸς βούλεται.

lato fato, providentiam una tollamus; contra ea, ne posito fato, nos ipsos quasi carceribus positis à providentia excludamus, fato ac necessitati servientes, quibus præter vana nomina natura nulla est. Nam qui fierit possit, ut qui fato ac necessitati serviunt, providentiam non simul tollant? Forte idem sunt fatum & providentia? Neutiquam, nam alia ratio est fati, alia providentiæ, non nomine tantum, sed multo magis re, ceu manifestum est omnibus. Quorum vero ratio diversa est, illa quoque ipsa diversa sunt. Alterum enim providere potest, seu quod idem est, efficere aliquid: alteri relinquitur nihil, nisi ut sempiterna causarum serie sic se habeat, seu quod eodem redit, patiatur, aut quocunque modo loqui malis, saltem utriusque diversam Tibi reddendam esse rationem, patet. Quare secundum jam dicta idem non sunt providentia & fatum. Ast alterum forte ex altero ortum esse dices, ut posito vel sublato uno, ponatur simul aut tollatur alterum, qualis ratio est effectus & causæ? Sed quomodo hoc: Num ex fato providentia, an contra ex providentia fatum? At fatum ex providentia esse, ne ipse quidem temere Pletho suscipiet, qui nimirum fatum omnibus imponit, illudque rerum omnium causam judicat; nisi forte aliarum quidem rerum omnium, nisi solius fati, causam esse dixerit. Verum vel sic fatum à providentia distat, & hæc omnium causa relinquitur, nequaquam vero fatum. Superest, ut ex fato providentiam repetat? Verum hoc ne ipsum quidem providentiæ nomen patitur, quod sensum quendam curamque futurorum notat, & aliquem providentem simul introducit. Sed fati non ea ratio est quæ providentis, neque

λεται, προνοοῦντας τοὺς Θεοὺς ἀποφαινόμενος εἶναι, λέγων τοὺς τὴν εἱμαρμένην ἀναιροῦντας, τὸ τῶν ὅλων προνοίας ἐκβάλλειν τοὺς Θεούς. εἰ δὲ καὶ εἱμαρμένη ἐστὶν ἡ πάντων αἰτία, ἡ πρόνοια λοιπὸν τίνων. ἢ ὧν ἡ εἱμαρμένη, ἢ οὐδενός; καὶ μάτην καθ' ἑκάτερον εἰσάγει Πλήθων τοὺς Θεοὺς προνοοῦντας. ὄνομα γὰρ δὴ μόνον ἡ πρόνοια πράγματος ἔρημον. ὥστε δῆλον, ὡς οὐχ ὁ τὴν εἱμαρμένην ἀναιρῶν, ἀναιρεῖ τὴν πρόνοιαν· ἀλλ' ἀνάπαλιν, ὁ τὴν εἱμαρμένην εἶναι τιθέμενος. πρόνοιαν δ' ἐγώ φημι, οὐχ ἣν Πλήθων βούλεται, τὴν τῶν μὴ ὄντων ἀλλὰ τὴν τοῦ ὄντως ὄντος Θεοῦ. ἐκεῖνο δὲ τίνι τῶν πάντων οὐ φανερὸν, ὡς εἱμαρμένην Πλήθων, καὶ αὐτοῖς αἰτιᾶται ῥήμασιν, προνοίας τε καὶ τῶν Θεῶν ὡς αὐτός φησι γινομένων. τοῦτο δὲ οὐδὲν ἕτερον δύναται, ἢ τὸ, εἰ ἔστιν εἱμαρμένη, μὴ πρόνοιαν εἶναι. εἰ γὰρ ὁ τὴν εἱμαρμένην ἀναιρῶν, δυοῖν ἀτόπων, τοῦ τε προνοεῖν τῶν ὅλων ἐκβάλλειν τοὺς Θεοὺς, καὶ τοῦ τὴν τῶν χειρόνων αἰτίαν αὐτοῖς περιάπτειν, τῷ ἑτέρῳ περιπεσεῖται, ὁ τιθέμενος εἱμαρμένην, τῶν ἀντικειμένων ἑκατέρου αὐτὴν αἰτίαν ἀποφανεῖ δήπου. διὰ τοῦτο γὰρ αὐτὴν ἀναγκασθήσεται τιθέναι, ἵνα ἢ Θεοὺς μὴ τῆς προνοίας ἐκβάλλῃ. ἢ μὴ τὴν τῶν χειρόνων αἰτίαν αὐτοῖς περιάψῃ. ὡς εἰ μὴ ἔσται εἱμαρμένη, τὸ ἕτερον πάντως ἐσόμενον. εἰ γὰρ εἱμαρμένης μὴ οὔσης, ἢ οὐ προνοήσουσι τῶν ὅλων, ἢ καὶ τῶν χειρόνων αἴτιοι ἔσονται, ἧς μὴ οὔσης τὸ ἕτερον ἔσονται, αὐτὴ δήπου τῶν ἀντικειμένων ἑκάτερον ἔσται. οὐχ οἱ Θεοὶ ἄρα προνοήσουσι τῶν ὅλων, ἀλλ' ἡ εἱμαρμένη. ἐκείνη γὰρ ἡ καὶ αὐτῶν προνοουμένη, καὶ δι' ἐκείνην καὶ αὐτοὶ ἐν τἀγαθῷ. τοῦτο δὲ οὐχ οἷόν τε δέδεικται

εἶναι,

que id sentit Pletho, qui Deos providere judicat, dum eos, qui fatum tollunt, de providentia rerum omnium dejicere dicit Deos. Jam si fatum quoque rerum omnium causa est, quid facies providentiæ, quæ vel earundem debet esse causa, quarum est fatum, vel nullius? Frustra igitur Pletho, utroque modo Deos facit providentes, quoniam providentia nomen tantum est, cui res nulla respondeat. Ut adeo perspicuum sit, non eum, qui fatum sustulerit, sed eum potius, qui posuerit, providentiam tollere. Providentiam vero nos dicimus, non qualem Pletho vult, quæ rebus, quæ non sunt, tribuenda sit, sed quæ illi, qui vere est, Deo. Cui præterea non est apertum, quod conceptis verbis Pletho ad fatum referat causam, cur & providentia sit & Dii sint, unde nihil efficitur aliud, quam si fatum sit, providentiam non esse? Nam si eum qui fatum sustulerit, in alterutrum horum absurdorum incidere sit necesse, ut vel de providentia rerum omnium dejiciat Deos, vel pejorum auctores constituat, existet, ut is qui fatum posuerit, idem constituat causam utriusque eorum, quæ his absurdis sunt opposita: siquidem hac ipsa de causa fatum cogetur ponere, ne vel providentiam Diis adimat, vel eos pejorum auctores faciat, quasi cessante fato, alterutrum omnino contingere sit necesse. Nam si sine fato vel ab omnium rerum cura & administratione vacabunt, vel pejorum omnino erunt architecti, sequitur, ut sine quo alterutrum horum Diis relinquitur, ad illud ipsum, utrumque quod his opponitur, referatur. Proinde procuratio omnium rerum non ad Deos, sed ad fatum pertinebit, Hoc enim & Diis ipsis prospiciet, & efficiet ut meliora semper amplectantur. Verum

εἶναι, τῷ διαφέρειν ἀλλήλων πρόνοιάν τε καὶ εἱμαρμένην, καὶ μηδ' ἐκ θατέρου θάτερον εἶναι. οὐκ ἄρα εἱμαρμένης μὴ οὔσης οὐδὲ πρόνοια ἔσαι· ἀλλ' ἀνάπαλιν, εἱμαρμένης οὔσης, ὅλως οὐκ ἔσαι πρόνοια, κατά τε ἀλήθειαν καὶ αὐτὸν Πλήθωνα. κατὰ μὲν ἀλήθειαν, ὡς μικρῷ δέδεικται πρότερον· κατὰ δὲ Πλήθωνα, ὅτι εἱμαρμένης μὴ οὔσης, οὐδὲ οἱ θεοὶ προνοήσουσιν. μὴ τῶν θεῶν δὲ προνοουμένων, οὐδὲ πρόνοια οὐδαμοῦ ἂν εἴη. οὐ γὰρ δὴ ἐν τῷ μὴ ὄντι ἡ πρόνοια. εἰ δ' εἴη τι ἡ πρόνοια, (ὡς δὴ καὶ ἔσιν ἀληθῶς, καὶ μέγα τι χρῆμα καὶ ὑπερμέγεθες, ἄπειρόν τε καὶ ὑπεράπειρον, καὶ πάντων ὡς οὕτως εἰπεῖν περιδεκτικόν· καὶ οὐδὲν ὅλως τῶν ὄντων ὃ αὐτῆς ἔξω, εἰ μὴ τὸ κακόν τις εἴποι, ὃ οὐδὲ ὄν, ἀλλὰ σέρησις ὄντος, ὡς ἡ τυφλότης οὐκ ὄν, ἀλλ' ὄντος σέρησις, ὄψεως γάρ.) εἰ οὖν εἴη πρόνοια, οὐκέτι ἔσαι εἱμαρμένη. ἐναντίον γὰρ δή, εἰ δεῖ γε οὕτως εἰπεῖν, πρόνοια εἱμαρμένῃ. καὶ μὴν καὶ τῇ θεοποιΐᾳ Πλήθωνος, διὰ τὴν εἱμαρμένην τἀγαθόν, καθ' ἑαυτοὺς δ' οὐκ ἀγαθοί. μὴ οὔσης γὰρ εἱμαρμένης, καὶ χειρόνων αἴτιοι. καὶ ἀμήχανον μὴ οὐ θάτερα ἀεί, ἤτοι τὰ πρότερον, ἢ ὕσερον αὐτοῖς ἐγνωσμένα, χείρω τῶν ἑτέρων εἶναι. καὶ τὸ δύνασθαι δέ, οὐχ' ἁπλῶς, ἀλλὰ πῇ. τὴν γὰρ τῶν χειρόνων αὐτοῖς αἰτίαν, ἀντὶ τῶν ἐκ τῶν δυνατῶν βελτίσων, περιάπτειν φησί. τὸ δὲ πῇ καὶ μὴ ἁπλῶς δυνατόν, καὶ μὴ δυνατὸν πάντως. τὸ δὲ μὴ δυνατόν, ἀδυναμίας σημαντικόν. ἀδύνατος ἄρα ἡ θεοποιΐα

Πλή-

hoc fieri non posse docui, quod inter fatum & providentiam multum intersit, neque alterum potuerit ex altero esse profectum. Quare non sequitur, providentiam non esse, si fatum non sit; sed contra, fatum si sit, providentiam non esse: Idque & secundum rei veritatem, & secundum Plethonem ipsum. Secundum illam quidem, ut paulo ante fuit ostensum; secundum Plethonem vero, quoniam cessante fato, etiam providentiam Deorum cessaturam credit: quae cum Diis sane adimatur a Plethone, nusquam erit, cum nihilo inhaerere non possit. Si vero est aliquid providentia, (ut profecto est, quin magnum quid & plane eximium, infinitum & summe infinitum, & omnia, ut ita loquar, amplexum: nihilque omnino est rerum omnium, quod extra illam sit, nisi malum quis dixerit, quod tamen ne quidem est res, sed privatio rei, quemadmodum coecitas nihil est, sed privatio, visus nimirum.) Si igitur est providentia, non amplius erit fatum, nam inimica est, si licet ita loqui, providentia fato. Adde etiam, quod secundum Plethonis Theoplastiam a fato bonum omne manet, Dii vero sua vi & natura boni non sint. Nam si fatum, inquit, non est, pejorum omnium erunt auctores, fierique non potest, quin alterutrum eorum, quæ decreverunt, vel quod primo, vel quod postremo, altero sit deterius. Quin & potentia secundum eundem Diis non prorsus, sed aliquo modo conveniet: siquidem nos dicit pejora potius omnia, quam eorum quæ fieri possunt, optima, illis adscribere. Sed quod non prorsus, verum aliquo modo potens est, etiam aliquid omnino non potest. Non posse autem aliquid efficere, argumentum im-

Πλήθωνος, καὶ κατ᾽ αὐτὸν Πλήθωνα, εἰ καὶ μὴ ἁπλῶς,
ἀλλὰ πῆ. οἱ οὖν μὴ καθ᾽ ἑαυτοὺς ἀγαθοὶ, μηδὲ δυνατοὶ
μόνον, ἀλλ᾽ ἔστιν οὗ καὶ ἀδύνατοι, πῶς θεοί; ὥστε λέληθεν
ἑαυτὸν Πλήθων, αὐτοῖς αὐτοῖς ἀποφαινόμενος ῥήμασιν,
οὐκ ἀγαθοὺς εἶναι οὓς εἰσάγει θεοὺς, οὐδὲ πάντα δυναμένους,
καὶ ἀδύνατά τινα ἀξιοῦν. οὕτως ἑαυτῷ πανταχοῦ περιπίπτων,
οὐκ αἰσθάνεται. εἶπεν ἂν εἱμαρμένον εἶναι καὶ τοῦτο πάν-
τας αὐτῷ, τιμῶντα εἱμαρμένην, ἣν τιμᾷ, διὰ αὐτὴν ἠ-
ρέμα ὑποκατακλίνεσθαι εἰς ἀναισθησίαν. οὕτως εἰς κα-
λὸν ἀπολελαύκει τῆς εἱμαρμένης. καὶ περὶ μὲν τούτων
ἀρκεῖ τοσαῦτα. οἴεται δὲ καὶ τὸ ὡρίσθαι τῷ προγινώσκειν
εἶναι ταυτόν. φησὶ γάρ· ,,ἔτι δ᾽ εἰ μὴ ὥριστο τὰ μέλλοντα,
,, οὐδ᾽ ἂν προεγινώσκετο, οὐ μόνον γε οὐχ ὑπ᾽ ἀνθρώπων,
,, ἀλλ᾽ οὐδ᾽ ὑπὸ τῶν θεῶν ἂν οὐδενός. οὐ γὰρ οἷόν τε ὅλως
,, γνῶσιν ὑπάρξαι τοῦ πάντη ἀορίστου. οἴεται μὲν οὖν ὡς εἴ-
ρηται, ταυτὸν εἶναι τὸ ὡρίσθαι τῷ προγινώσκειν. οὐ γὰρ ἂν
οὔτε ἐπίπλεον εἶναι. ἔσται γάρ τι προεγνωσμένον ἀόριστον, ὅπερ
οὐ βούλεται. οὔτε ἐπέλαττον. ἔσται γάρ τι ὡρισμένον ἄνευ
αἰτίου, ὅπερ οὐδὲ αὐτὸ βούλεται, εἴπερ αὐτοῦ ἐστι· ,, τὸ νῦν
,, δ᾽ οἱ θεοὶ ἴσασι δήπου τὰ ἐσόμενα, οἵπερ καὶ ὁρίζουσι τοῦ
,, αὐτὰ, καὶ ἐν σφίσιν αὐτοῖς ἔχουσι παρόντα ἀεὶ τῇ αἰτίᾳ.
εἰ γὰρ ὁρίζοιτο μὲν τὰ ἐσόμενα, οὐ προγινώσκοιτο δὲ
ὑπὸ τῶν θεῶν, ὃ βούλεται τὸ ἐπέλαττον εἶναι τοῦ ὁρίζειν τὸ
προγινώσκειν, ἢ ὑπ᾽ ἄλλου τοῦ ἂν ὁρίζοιτο, καὶ οὐχ ὑπὸ τῶν θεῶν,
οὐδ᾽ ἔχοιεν ἂν παρόντα ἐν σφίσιν αὐτοῖς τῇ αἰτίᾳ, ἢ ἄνευ
αἰ-

potentiæ. Impotentes ergo sunt Dii Plethonis, suapte sententia, quanquam non prorsus, aliquo tamen modo. Qui vero non sua natura boni sunt, neque absolute potentes, sed & impotentes aliqua ex parte, quomodo Dii erunt? Ut proinde sui Pletho oblitus diserte declaret, neque bonos esse, neque omnia posse, quos inducit Deos, quin velle aliqua quæ vires superant. Ita prorsus non animadvertit, quam suis ubique laqueis irretiatur. Dixerit fatum ipsi fuisse, ut dum eam, quam colit, fati necessitatem veneratur, per eandem sensim, ac præter opinionem induceretur in stuporem. Ita nimirum ad commodum suum fato abuteretur. Verum hæc hactenus. Putat autem præterea, præscire idem esse, quod constitutum esse. „ Porro, inquit, „ nisi definita essent omnia, ne præsciri quidem „ possent, non solum ab hominibus, sed ne quidem „ a quoquam Deorum. Fieri enim non potest, ut „ sciri in universum quicquam possit, quod prorsus „ non sit definitum. Censet igitur, ut dictum, quod idem sit præscire & constitutum esse. Illud enim neque latius esse, quoniam secuturum sit, fuisse aliquid ante cognitum, quod definitum non fuerit, quod minus placet: neque angustius, quia sic definitum aliquid foret absque causa, quod etiam non arridet, siquidem hæc Plethonis sunt. „ Jam autem „ norunt Dii futura, qui & decernunt illa, & eadem, dum causa illorum sunt, habent semper an- „ te oculos præsentia. Si enim definirentur quidem futura, sed ignorarentur à Diis, id enim dicimus, angustius esse præscire quam constituere, vel si ab alio quodam definirentur, non autem à Diis, sequeretur eos non habere illa ante oculos præsentia,

αἰτίᾳ ὁρίζοιτ' ἄν. εἴπερ οἱ θεοὶ τῷ προγινώσκειν τε καὶ αἴτιοι εἶναι ὁρίζουσι. οὔτε οὖν ἐπίπλεον, οὔτε ἐπέλαττον βούλοιτ' ἂν Πλήθων, πρὸς τὸ προγινώσκειν τὸ ὁρίζεσθαι ἔχειν, διὰ τὰς ἀποδεδομένας αἰτίας· ταυτὸν ἄρα βούλοιτ' ἂν αὐτὰ εἶναι. ἀλλ' οὐ ταυτόν ἐστι. τὸ μὲν γὰρ ὡρίσθαι ταυτὸν εἶναι τῷ ὑπ' αἰτίαν τετάχθαι, καὶ αὐτός φησι Πλήθων· τὸ δὲ προγινώσκειν οὐ τοιοῦτον. οὐ γὰρ εἴ τι προγινώσκει τι, καὶ αἴτιον τοῦτο τοῦ προγινωσκομένου. ὅτι μὲν γὰρ αὔριον ἥλιος ἀνατελεῖ, καὶ ὑπὲρ τὸν ὁρίζοντα ἔσται, καὶ διαδραμεῖται τὸ πρὸς ἡμῖν ἡμισφαίριον, ἴσμεν τε καὶ ὡρισμένως ἴσμεν. τὸ γὰρ ἐξ ἀνάγκης τοῦτό γε. οὐχ ἡμεῖς μέντοι τὸ ἀνατεῖλαι ὁριζόμεθα, οὐδ' αἴτιοι αὐτοῦ ἐσμεν. καὶ τὴν ὠδίνουσαν, ὡς μὲν τέξεται, πᾶς οἶδε δήπουθεν, τοῦ δὲ τεκεῖν, οὐ πᾶς αἴτιος. ἀλλ' οὐδ' ὡρισμένως ὅ,τι τέξεται οἶδεν. οὐ γὰρ οὔτε εἰ τέλειον, οὔτε εἰ τερατῶδες. οὐδὲ εἰ ἄρρεν ἢ θῆλυ. καὶ μὴν καὶ ὁ θεὸς, πάντα μὲν οἶδεν, οὐ πάντα δὲ ὁρίζει. οἶδε γὰρ καὶ τὰ ἐφ' ἡμῖν, οὐχ ὁρίζει δέ. ἀλλὰ καὶ τὰ ὑπὸ τῆς φύσεως γινόμενα τερατώδη, μᾶλλον δὲ τὰ παρὰ φύσιν γινόμενα πάντα, γινώσκει· οὐκ αὐτὸς δὲ ταῦτα ὁρίζει. οὐδὲ γὰρ οὐδ' ὡρισμένα τὰ μὴ τέλεια, οὐ γὰρ τῆς τοῦ ἀγαθοῦ μοίρας, τὸ δὲ μὴ ἀγαθὸν πᾶν ἀόριστον· οὐδὲ δι' αὐτὸν ἀτελῆ. καὶ τὸν αὐτοῦ δὲ θεὸν Δία, Πλήθων οἶδε, καίτοι οὐχ ὁρίσαι μόνος τῶν ἁπάντων, ὡς μὲν αὐτός φησι τῷ κρείττων εἶναι, ἢ ὥστε ὡρίσθαι· ὡς δὲ ἡμεῖς ἂν καὶ ἀληθῶς φαῖμεν, τῷ χείρων εἶναι ἢ ὥστε ὡρίσθαι.

πα-

ut causa eorundem sint: vel ipsa hæc futura definiri absque causa; cum tamen Dii res definiant eo ipso, dum præsciunt & causa illarum sunt. Quare ob rationes allatas, neque latiorem nec angustiorem Pletho temere voluerit constitutionem futurorum, illorum scientia. Ergo idem statuat necesse est. Verum idem non sunt. Nam ipse Pletho fatetur, constitutum esse idem velle, ac pendere à causa quadam. Sed ejus generis non est scientia antecedens. Nec enim, si quis præsciverit aliquid, propterea causa fuerit rei, quam præscit. Cras enim solem esse oriturum, & emersurum supra horrizontem, atque emensurum esse cursu hoc nostrum hemisphærium, id vero scimus, & quidem definite: nam earum est una rerum, quæ necessario ita eveniunt; neque tamen nos solis ortum vel definimus vel efficimus. Laborantem vero dolore puerperam parituram esse nemo est qui nesciat; sed quod paritura sit, non quilibet effecit. Neque vero, qualem editura sit partum, certo novimus: neque, utrum perfectum an monstrosum: nec utrum masculum an feminam. Sane & Deus novit quidem omnia, idem vero non definit omnia: novit enim & illa, quæ sita sunt in nobis, sed non definit. Sed & quæ natura edit monstra, seu potius, quæ præter naturam fiunt omnia novit, ipse vero nequaquam definit: nam neque definita sunt ea quæ imperfecta sunt, quoniam non sunt ex genere bonorum, nihil vero quod bonum non est, definitum: neque Deo ita efficiente imperfecta sunt. Ipsum sane Jovem suum novit Pletho, qui tamen, ut ipse dicit, solus ex omnibus definitus non est, quod potior sit, quam ut definiri potuerit; imo, ut vere nos quidem diceremus, quod deterior fuerit,

παρόσον οὐδ' ἔστιν. οἶδε δὲ δήπου καὶ τὴν εἱμαρμένην, ἣν ὡς μὲν αὐτὸς ἂν εἴποι, πάντα ὁρίζουσαν, αὐτὴν δὲ ὁριζομένην ὑπ' οὐδενός· ὡς δὲ ἡμεῖς ἂν ἀληθῶς εἴποιμεν, πάντη πάντως ἀόριστον οὖσαν, ἅτε μηδὲ αὐτὴν μηδὲν οὖσαν· εἰ μὴ καὶ αὐτὴν ὡρίσθαι φαίη τις, κατ' αὐτό γε τοῦτο, τὸ μηδὲν εἶναι, τῇ δὲ διανοίᾳ ἀναπλάττεσθαι Πλήθωνος, ὡς δή τινα τραγέλαφον, ἢ χίμαιραν, ἤ τι τῶν παραπλησίων. καὶ τὰ τῆς διανοίας δὲ ἀναπλάσματα, τραγελάφους δηλαδὴ καὶ χιμαίρας, βουγενῆ τε ἀνδρόπρωρα, καὶ ἀνδραγενῆ ἐλαιόπρωρα, καὶ τὰ παραπλήσια, ἴσασι δήπου οἱ ἀναπλάττοντες, ἢ ἀναπλάττουσιν· οὐχ ὥρισται δὲ οὐδὲν αὐτῶν, οὔθ' ὑπ' αὐτῶν, οὔτε του ἄλλου, οὔθ' ὑπ' αὐτῆς δήπου τῆς φύσεως. οὐδὲ γὰρ οὐδὲ γέγονέ πω οὐδὲν αὐτῶν, οὐδ' εὖ οἶδ' ὅτι γενήσεται. ἐκεῖνα δὲ μόνα ὁρίζεται, ἅπερ καὶ γίνεται, καὶ οὐκ ἐκπίπτει τοῦ λόγου τῆς τελειότητός τε καὶ ἀγαθότητος. ἃ δὲ οὐ γίνεται, ταῦτα οὐδὲ ὁρίζεται. ἐπεὶ εἰ ὁρίζεται μὲν, οὐ γίνεται δὲ, ἔσται τι τῶν ὄντων ὡρισμένον, ἀγένητόν τε ὂν καὶ ἀναίτιον, ὃ οὐκ ἂν ποτε ἀποδέξαιτο Πλήθων, ὡς ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν. οὐ ταυτὸν οὖν ἐστι τὸ ὁρίζειν τῷ προγινώσκειν. ἀλλὰ περὶ τούτων τέως ἄμεινον ἐπισκεπτέον· ἄμεινον δ' ἂν ἐπισκεψαίμεθα, τῇδέ πῃ μεθιόντες τὸν λόγον. Παρήγαγεν ὁ Θεὸς τὸν νοητὸν καὶ ὑπερουράνιον διάκοσμον, τὰς ἀγγελικάς φημι δυνάμεις, καὶ ἀσωμάτους οὐσίας, φύσιν αὐτοῖς ἀπονείμας, ἣν ἀδυνατοῦμεν ἄνθρωποι κατανοῆσαί τε καὶ εἰπεῖν. παρήγαγε καὶ τὸν ὁρατὸν τοῦτον κόσμον καὶ ὑλικὸν, προϋποστήσας ἐν αὐτῷ τὴν ὕλην, ἐξ ἧς ἔμελλε τὰ διάφορα δημιουργεῖν εἴδη. αὐτὸς

γὰρ

rit, quam ut potuerit definiri, quoniam ne quidem est. Novit certe etiam fatum, quod quidem, ceu ipse fatebitur, omnia definit, ipsum vero à nemine definitur; imo, ut vere nos diceremus, quod neutiquam nullaque ex parte definitum est, cum id ipsum quoque nullum sit: nisi temere quis hactenus definitum dixerit, ut nihil sit, confingi autem debeat mente Plethonis, sicut hirco-cervum quendam, aut chimæram solemus, aut horum similia? Sed & commenta ingenii, hirco-cervos nimirum & chimæras, aut boves humana facie, vel homines cervina, similiaque horum norunt ii qui comminiscuntur, quatenus id faciunt; neque tamen definitum est quicquam horum vel ab ipsis, vel ab aliis, vel ab ipsa denique natura. Nihil enim horum aut fuit unquam, aut futurum est, certe scio. Illa vero sola definiuntur, quæ & fiunt, & non recedunt à boni perfectique ratione. Quæ vero non exsistunt, illa nec definiuntur. Nam si definirentur quidem, non autem existerent, esset aliquid definitum, quod & infectum maneret, & causa careret: quod non temere unquam sumserit Pletho, ut ex dictis liquet. Quare idem non sunt, nosse ante & definire. Verum hæc interea diligentius expedenda sunt. Expendemus autem diligentius, si huc fere deduxerimus orationem. Produxit Deus intelligentium & cœlestium rerum ordines, angelos dico omni corpore destitutos: naturam illis impertiens, quam nos, homines qui sumus, neque mente possumus consequi neque oratione. Produxit etiam hunc, qui oculis patet, & corpore constat, mundum, præstructa prius in illo materia, e qua diversas istas conformare animus erat formas. Nam

γὰρ δὴ καὶ ταύτης ποιητὴς καὶ δημιουργὸς, ἀλλ' οὐκ ἐξ ἀϊδίου ὑφεστηκυῖα, ὥς τινες ἐφαντάσθησαν ἀνοήτως, καὶ οὐδὲν ὅλως τῶν ὄντων, ὃ τὴν αὐτοῦ δημιουργίαν καὶ ποίησιν διαπέφευγε. ἐκ ταύτης οὖν τῆς σωματικῆς ὕλης, θελήματι μόνῳ, ἀποτεμόμενός τε καὶ ἀπολαβὼν τὴν ἀρχὴν, τὰ διάφορα συνέπηξεν εἴδη, τέλεια παραγαγὼν ὡς ἠθέλησεν. ἔδει γὰρ αὐτὰ ἐκ τελείου καὶ ὑπερτελοῦς καὶ παντοδυνάμου γινόμενα, τέλειά τε εἶναι, καὶ οὐδενὸς, ὃ τῇ φύσει καθῆκεν, ἣν ἑκάστῳ ὁ δημιουργὸς ἀπένειμεν, ἐνδεᾶ· ἵνα δὴ τοῖς μετὰ ταῦτα ἀρχή τις καὶ αὐτὰ γένοιτο, καὶ τοῦθ' οὕτω θελήσαντος τοῦ δημιουργοῦ. οὐκ ἂν δὲ καλῶς εἶχεν αὐτοῖς, οὐδὲ οἷά τε ἂν ἦν, τοῖς ἄλλοις εἶναι ἀρχὴ, εἰ μὴ τέλεια ἐγίνετο τὴν ἀρχήν· ἀλλ' οὐδὲ πρὸς τῆς δυνάμεως τοῦτο τοῦ πεποιηκότος, ὄντος παντοδυνάμου. ἐκ τῆς ὕλης οὖν ἤδη προϋποστάσης ἕκαστα τῶν εἰδῶν ὁ δημιουργὸς θεὸς καὶ ἀριστοτέχνης ὡς ἠθέλησε συνεστήσατο, ἑκάστῳ φύσιν τινὰ καὶ δύναμιν ἀπονείμας ἰδίαν, καθ' ἣν καὶ αὐτὰ παράγειν ἔμελλεν ὅμοια ἑαυτοῖς. ὃ δὴ καὶ γίνεται, καὶ ἄνθρωπος μὲν ἄνθρωπον γεννᾷ, βοῦς δὲ βοῦν, καὶ ἀετὸς ἀετὸν, καὶ δελφὶν δελφῖνα· συκῆ τε ἐκ συκῆς γίνεται, καὶ ἐξ ἑκάστων ἕκαστα, καὶ πάντα ἐκ πάντων, ἐκ τοῦ καταλλήλου τὸ κατάλληλον δηλαδή. οὐ γὰρ δὴ ἐξ ἀμυγδαλῆς ἂν καρύα γίνοιτο, οὐδ' ἐκ λέοντος ἀετός· ἀλλ' ἀετὸς μὲν ἐξ ἀετοῦ, ἐκ δὲ λέοντος λέων, καὶ ἐξ ἀμυγδαλῆς ἀμυγδαλὴ, καὶ οὕτως ἐξ ἀπάντων ἅπαντα καθέκαστον. τοῦτο δὲ τοῦτον ἠθέλησε τὸν τρόπον γίνεσθαι, οὐκ ἀδυνατῶν αὐτὸς ἀπειροδύναμος ὢν, κατὰ τὴν πρώτην ἕκαστα ποιεῖν σύστασιν· ἀλλ' ἵνα τάξις

τις

& hujus ipſe auctor eſt & opifex, neque illa ab æternitate perſtitit, ut inepte ſibi nonnulli perſuaſerunt, nihilque omnino eſt rerum, quod non ab ejus effectione habeat ortum & fabrica. Ex hac igitur corporea materie, ſolo nutu, diverſas ab initio ſectas decerptaſque conſtituit formas, perfectaſque produxit, ſicut apud animum propoſuerat. Erat enim neceſſe, ut quæ a perfecto, & ſumme perfecto, ac infinitæ potentiæ Deo effectæ eſſent, ipſæ quoque eſſent perfectæ, nullaque re deſtituerentur, quæ illi, quam cuilibet impertiri voluit opifex, naturæ conveniret: Quo nimirum & hae formæ poſtea producendis principia darent, volente hoc ipſum opifice. Nec enim conveniebat illis, quin ne poterant quidem reliquis dare principia, niſi ipſæ a principio perfectæ fuiſſent: quid, quod aliter non pateretur autoris potentia abſoluta. Proinde ex jam conſtituta materia ſingulas formas compoſuit ædificator pulcherrimuſque artifex Deus, tributa cuilibet propria natura ac vi, qua & ipſæ poſſent ſui ſimilia procreare. Id quod evenit: nam & homo generat hominem, & bos bovem, aquilam aquila, & delphinus delphinum: Ficus quoque e ficu naſcitur, & ex ſingulis ſingula, univerſa ex univerſis, ſimilia nimirum e ſimilibus. Nam neque ex amygdala temere prodeat juglans, nec ex leone aquila; ſed aquila ex aquila naſcitur, e leone leo, amygdala ex amygdala, atque ita ex univerſis univerſa, ſuo ſingula modo. Quæ quidem hac potiſſimum ratione fieri omnia voluit, non quaſi non potuiſſet ſingula ad primæ conſtitutionis modum efficere, cum infinite potens ſit; ſed ut ordo quidam appareret in rebus, per illas

τις ἐνθεωροῖτο κἀν τοῖς οὖσιν, οἷς αὐτὸς οἶδε σαθμοῖς. φύσιν οὖν ἣν ἠθέλησεν ἑκάσῳ δέδωκεν ὁ δημιουργὸς, καὶ δύναμιν τῇ φύσει κατάλληλον· ἵνα δὴ καὶ κατὰ δύναμιν καὶ φύσιν ἔχῃ ποιεῖν. καὶ τὸ μὲν τοῦ πεποιηκότος, ὡς ἔσι, ποιεῖ. τέλεια δέ ἐσι καὶ κατὰ φύσιν καὶ δύναμιν, ἥτις ἀνῆκεν αὐτοῖς. κατὰ φύσιν ἄρα καὶ τέλεια ποιεῖ. ἀδυνατοῦντα δ' ἔσθ' ὅτε καθ' αὐτὰ, οὐ γὰρ ἀπαθῶς οὐδὲ ἀπόνως δρᾷ, οὐδὲ τῷ μή τινος προσδεῖσθαι τῶν ἔξωθεν, τοῦ τελείου διαμαρτάνει· καὶ οὕτω δὴ τὰ παρὰ φύσιν συμβαίνει γίνεσθαι, καὶ ἃ δή τινες οὕτως ὠνομάκασι, τέρατα. κατὰ φύσιν μὲν οὖν ὡς εἴρηται ποιοῦντα, τέλεια ποιεῖ, ὀργάνων μὲν αὐτὰ τότε σώζοντα τάξιν, ἕκασα δὲ δι' αὐτῶν ἐπείπερ οὕτως ἠθέλησε, τοῦ δημιουργοῦ τελεσιουργοῦντος· καὶ παρ' αὐτὸν, οὐδὲν ἀτελές. εἰ δὲ κατά τι πάθος ἀδυνατήσειεν, ἢ αὐτὰ παθόντα, ἢ τῶν ἔξωθεν ἐλλειφθέντος τινὸς, τότε δὴ παρὰ φύσιν ἡ ποίησις, καὶ ἀτελὴς, καὶ τερατώδης, καὶ οὐκέτι τὸ ποιούμενον τοιοῦτον, οἷον τὸ ποιοῦν, ὃ δὴ τῆς φύσεως τέλος τὸ σκοπιμώτατον. ὡς δὴ καὶ οἰκοδόμος, ὁ οἰκοδόμος, τέλειά τε καὶ κατὰ τὴν οἰκοδομὴν πρέπουσαν φύσιν ποιεῖ. ἔσθ' ὅτε δὲ καὶ ἀτελῆ τὰ οἰκοδομούμενα καταλείπεται, ἢ παρὰ τὴν ἔλλειψιν τῆς ζητουμένης τῷ οἰκοδομήματι ὕλης, ἢ τῷ καὶ αὐτόν τι πάθος παθεῖν, καὶ μὴ οἷόν τε εἶναι χρῆσθαι τῇ οἰκοδομικῇ. ταῦτά τε οὖν κἀκεῖνα, ὁ δημιουργὸς τῶν ὅλων, ἐν τῷ τῆς γνώσεως οἶδεν ἀπείρῳ, καὶ πρὸ γενέσεως. ἀλλὰ τὰ μὲν τέλεια, καὶ οἶδεν ὡς τέλεια, καὶ ὁ τελειῶν αὐτός ἐσι, τῷ ἀπείρῳ τῆς δυνάμεως, καὶ τῆς ἐν τῇ ἀρχῇ τῆς κοσμογενείας προσκελεύσεως.

ὁ

quas norat ponderis regulas. Naturam igitur quam voluit Opifex, singulis tribuit, & vim naturæ respondentem, quo & secundum vim & secundum naturam agere possent. Quare effectus illarum caussarum tales producit, quales ipsæ sunt. Sunt autem ipsæ perfectæ secundum naturam & secundum vim, quæ possit sufficere. Ergo secundum naturam ipse quoque perfectos producit. Sicubi vero caussæ istæ, sua ipsæ impotentia laborantes, à perfecto aberrent: Nam neque absque perpessione laboris omnis agunt, neque nihil omnino eorum, quæ extra se sunt, ad efficiendum desiderant: Hac ratione illa, quæ præter naturam fiunt, fieri contingit, vel quæ nonnulli dicunt portenta. Quare si secundum naturam agunt caussæ, perfectum quid efficiunt, & organorum munere recte funguntur: ipse vero opifex per illas omnia, quandoquidem ita placuit, efficit, nihilque quod imperfectum sit, ab ipso proficiscitur. Ast si casu quodam impotentes fuerint caussæ, seu ipsæ laborent infirmitate, seu externorum quidpiam defuerit: tum præter naturam effectio fit, & imperfecta ac monstrosa, neque effectus amplius caussæ respondet, quem sibi finem natura proposuit vel maxime. Quemadmodum & architectus, in quantum sane architectus est, perfecta efficit, quæque structuræ rationi conveniant; aliquando tamen imperfectum relinquitur ædificium, vel quod materies quæsita ædificio desideretur, vel quod ipse aliquid patiatur architectus, nec possit uti peritia ædificandi. Jam & hæc & illa pro infinita sua cognitione, etiam antequam fiant, novit hujus universi architectus; sed perfecta & novit esse talia, & ipse perficit infinita vi sua, & jussu in prima rerum crea-

ὁ πατήρ μου γάρ φησιν ἕως ἄρτι ἐργάζεται, καγὼ ἐργάζομαι. αὐτὸς οὖν ἐστιν ὁ τελειῶν ἕκαστα, ὀργάνοις ὡς ἠθέλησε τοῖς καθέκαστα χρώμενος. τὰ δ' ἀτελῆ καταλειφθέντα, οἶδε μὲν καὶ αὐτὰ ὡς τοιαῦτα καταλειφθήσεται, οὐ μὴν αὐτὸς αἴτιος τοῦ ἀτέλεστα καταλειφθῆναι, ἀλλ' ἡ τῶν καθέκαστα, οἷς ὡς ὀργάνοις χρῆται, ἀδυναμία· ἀτελοῦς γὰρ οὐδενὸς αἴτιος ὁ Θεός. δι' ἣν δ' αἰτίαν οὕτω ταῦτα ἠθέλησε γίνεσθαι, ἐν τῷ τῆς γνώσεως τοῦ Θεοῦ κείσθω ἀπείρῳ, καὶ ἡμῖν οὐ καταληπτῷ. τὴν γὰρ ἡμετέραν οὐκ ἂν ἐφικέσθαι, πάντῃ πάντως οὖσαν πεπερασμένην, καὶ τῶν καθ' ἡμᾶς αὐτοὺς, μὴ ὅτι γε τῶν ὑπὲρ ἡμᾶς, ἀπολειπομένην τῶν πλείστων. πλὴν ὅσαγε καὶ ἡμᾶς εὐσεβῶς στοχάσασθαι, πρῶτον μὲν, ἵνα κἀν τοῖς γινομένοις τάξις τις ᾖ· εἶτα ἵνα μὴ τῷ αὐτομάτῳ, εἰ δὲ βούλει, καὶ τῇ εἱμαρμένῃ τινὲς ταῦτ' ἐπιτρέψωσιν, ἐκ τῆς τάξεως κατανοοῦντες τὰ τάττοντα· πρὸς δὲ τούτοις, καὶ ἵνα μὴ περὶ αὐτῶν μηδὲν ὑψηλότερον τῆς αὐτῶν φύσεως ὑπονοῶμεν, ἀεὶ ὁρῶντες ἔχοντα κατὰ τὰ αὐτὰ, καὶ μηδὲν μήτε περὶ τὸ ποιεῖν διαμαρτάνοντα, μήτε περὶ τὸ πάσχειν. ὅ τινες καὶ περὶ ἔνια τῶν ὄντων, καί τοι οὕτως ἔχοντα, πεπόνθασιν ἀφρόνως, θεοποιοῦντες τὰ κτίσματα, καὶ τὴν κτίσιν ἐπανισοῦντες τῷ κτίσαντι· οἷς ἠκολουθηκέναι καὶ Πλήθων, τοσούτοις ὕστερον ἐνιαυτοῖς, ᾠήθη δεῖν ἐπ' ἀπωλείᾳ τῇ ἑαυτοῦ. ἐπ' ὠφελείᾳ οὖν ἡμῶν καὶ προμηθείᾳ λυσιτελεῖ, καὶ τὸ κατὰ τὰ γινόμενα ἀτελὲς, δικαίως ἄν τις τὴν ἀρχὴν, καὶ εὐσεβῶς ᾠκονομῆσθαι λογίζοιτο· τοῦ Θεοῦ προνοοῦντος ὡς ἐν ἀσφαλείᾳ ἐσόμεθα, πρὸς αὐτὸν ἐπιστρεφόμενοι μόνον,

καὶ

tione edito. Pater enim meus, inquit Christus, in hoc usque tempus operatur, & ego operor. Ipse igitur est, qui perficit singula, singulorum, ut placuit, usus organis; sed imperfecta quæ relinquuntur, novit quidem ita relictum iri, ipse tamen in causa non est, cur in eo statu permaneant, sed sua cuique rei, qua instrumenti loco utitur, impotentia. Nihil enim, quod imperfectum sit, à Deo proficiscitur. Causa vero quamobrem illa hoc fieri modo voluerit, in infinita Dei nobisque incomprehensa scientia delitescat: quandoquidem nostra illuc pervenire nequit cognitio, quæ prorsus & undiquaque circumscripta limitibus est, & pleraque eorum, quæ ad nos ipsos pertinent, nedum quæ supra nos sunt, assequi non potest. Quantum tamen nobis datum est caste conjicere, primo quidem factum illud arbitramur, ut esset ordo quidam in iis quæ fiunt: Deinde, ne temere aut casu, vel si mavis, fato illa evenire quisquam existimet, cum ex ordine rerum illius autorem fuerit contemplatus. Præterea, ne de illis sentiamus augustius, quam ipsorum patitur natura, ubi illa eodem se semper habere modo viderimus, & nunquam vel in agendo errare vel in patiendo. Quod vel sic nonnullis circa quaedam imprudenter accidit, qui rebus creatis dederunt divinitatem, easque creatori anteposuerunt: Quorum sibi vestigia, tanto post annorum intervallo, premenda esse Pletho ratus est in suam perniciem. Quare merito quis & religiose, quod est imperfectum in rebus, ab initio sic fuisse ordinatum judicet, ad nostrum emolumentum & ad salutarem cautionem: Providente nimirum Deo, ut stabilem haberemus certamque sententiam, ad ipsum unice

καὶ αὐτὸν γινώσκοντες τῶν πάντων ποιητὴν καὶ δημιουργὸν, καὶ αὐτῷ μόνῳ τὴν ὀφειλομένην ἀνατιθέντες λατρείαν. εἰ καί τινες ἑαυτοῖς, ματαιωθέντες τοῖς ἰδίοις διαλογισμοῖς, θεοὺς τοὺς μὴ ὄντας ἐπέστησαν, ἀποστάντες μὲν τοῦ ὄντως Θεοῦ, οὓς δὲ αὐτοὶ αὐτοῖς ἀνεπλάσαντο, τούτοις ἀπονέμοντες τὴν προσκύνησιν· ὡς ἐξὸν αὐτοῖς Θεοποιοῖς τε εἶναι, καὶ τοιαῦτα παρανομεῖν, ἅπερ ἐξ ἅπαντος ἔμελλεν ἀποσχοινίζειν αὐτοὺς τἀγαθοῦ, καθάπαξ τὸ μὴ ἀγαθὸν ἑλομένους, καὶ τούτῳ λατρεύοντας παρὰ τἀγαθόν. ὃ δὲ γινόμενον ἐπὶ τῶν ἄλλων ἐστὶν ὁρᾷν, τοῦτο κἀπὶ τῶν οὐρανίων συμβαίνει σωμάτων, ἅπερ οὐδὲ αὐτὰ Θεοποιεῖν ἀπέσχοντο ἔνιοι, καὶ τὴν τῶν γινομένων ἑκάστων αἰτίαν αὐτοῖς ἐπιγράφεσθαι. καὶ γὰρ δὴ καὶ αὐτοῖς δραστικάς τινας δυνάμεις οὐκ ὀλίγας ἐναπένειμεν ὁ δημιουργὸς, καθ' ἃς καὶ ποιητικὰ πολλῶν καὶ σημαντικὰ γίνεται. καὶ μὴ καθ' αὑτὰ μήτε σημαντικὰ, μήτε ποιητικὰ οὐδενός· μὴ κατά τινα προαιρετικὴν δύναμιν δρῶντα· οὐ γὰρ ἔμψυχα· μηδὲ καθ' εἱμαρμένην· ἀλλὰ κατὰ τὴν Θεόθεν ἐντεθεῖσαν αὐτοῖς δύναμιν. ὅπερ ἐκδηλότερον ἐπὶ τοῦ ἡλίου συμβαίνει γίνεσθαι. πολλαὶ γὰρ δι' αὐτοῦ τοῖς οὖσιν ἐνέργειαι. φωτίζει γὰρ τὸ διαφανὲς, καὶ ὁρᾶσθαι παρέχει τὰ ὁρατά· θάλπει τε τὰ θαλπόμενα, καὶ τήκει τὰ τηκτὰ, καὶ ζωογενεῖ τὰ ζωῆς μετέχοντα καὶ τοῦ ζῆν, καὶ ἄλλα μυρία ποιεῖ, ἅπερ ἅπαντα φανερὰ πᾶσιν ὄντα, ἐν τῷ παρόντι ἀπαριθμεῖσθαι περίεργον. καὶ τὸ μὲν φαινόμενον αὐτός ἐστιν ὁ ταῦτα ποιῶν· τὸ δ' ἀληθὲς, οὐ καθ' ἑαυτὸν ποιεῖ, ἀλλὰ διὰ τὸν καὶ τὸ εἶναι, καὶ τοιαῦτα δύνασθαι αὐτῷ δεδωκότα. καὶ εἰ μὴ δι' ἐκεῖνον, οὔτ' ἂν ἦν, οὔτ' ἂν ἐποίει οὐδέν. οὐ μὴν οὐδὲ αὐτὸς ἃ ποιεῖ, τελείως ἀεὶ ποιεῖ· ἀλλ' ἔστιν ὅτε τοῦ τελείου καὶ αὐτὸς διαπίπτει, παρὰ τὸ μὴ τοι-

οῦτον

unice conversi, ipsumque agnoscentes omnium rerum effectorem & opificem, ipsique soli justum adhibentes cultum. Quanquam nihilosecius nonnulli, vani ratiocinatione sua facti, in Deos adsciverint eos qui non sunt, desertoque vero Deo, iis quos ipsi sibi finxerant opinionis errore, cultum tribuerint. Quasi ipsis liceret vel Deos comminisci, vel ejusmodi flagitia admittere, quæ ab omni bono illos exclusura erant, cum prorsus amplexi fuissent non bona, iisque perverse adhibuissent reverentiam. Quod vero in aliis factum videmus, id & corporibus cœlestibus accidit, quæ ipsa quoque non veriti sunt aliqui reponere in Deos, & omnium quæ fiunt causas ad illa referre. Enimvero & his variam agendi facultatem impertiit opifex, secundum quam & efficerent multa, & portenderent. Quanquam neque per se quicquam vel significent, vel efficiant, cum absque consilio & deliberatione agant, & inanima sint, neque ex fato; sed secundum vim divinitus inditam. Quod in sole maxime est conspicuum: Multi enim ab eo rebus sunt effectus. Nam hunc ætherem luce suffundit, & quæ videri possunt, oculis objicit: fovet etiam quæ foventur omnia, & liquefacta liquefacit, vitamque impertit iis, in quibus vis inest vitalis aut vitæ actio: alia denique facit infinita, quæ cum manifesta sint omnibus, supervacaneum foret in præsenti annumerare. Et hæc quidem ad speciem sol ipse efficit, at re vera non per se id facit, sed per eum, qui & essentiam illi & facultatem istarum rerum largitus est: Per quem si non ageret, neque foret omnino, nec effecturus quicquam esset. Verum neque hic sol, quæ facit, perfecta semper ratione efficit, sed ipse etiam aliquando perfectio-

οῦτον ἀεὶ τὸ ὑποκείμενον εἶναι, οἷον ἂν δέξαιτο τὴν παρ' αὐτοῦ ἐνέργειαν ἀπαθῶς· μηδὲ αὐτὸν ἂν ἔχειν ἀπαθῶς ἐνεργεῖν, κινούμενόν τε καὶ τροπὰς μυρίας δεχόμενον, νέφεσί τε καλυπτόμενον, καὶ τοῦ μικροτέρου τῶν σωμάτων ἐπιπροσθοῦντος, ἀδυνατοῦντα καθαρῶς προσβάλλειν τὰς ἀκτῖνας τοῖς διαλειχιζομένοις. εἰ καὶ μὴ αὐτοῦ δοκεῖ πάθη τὰ τοιαῦτα, τοῖς μὴ ἐπεσκεμμένοις, ἢ μὴ βουλομένοις ἐπισκέπτεσθαι ἀκριβῶς. φωτίζει μὲν γὰρ πλείστους, ἀλλ' ἀμαυροῖ τῶν σκαρδαμυττόντων τὴν ὄψιν· καὶ θερμαίνει τοὺς εὐεκτοῦντας, ἀλλὰ καχεκτούντων ἐνίοις οὐ τοιοῦτος εἶναι δοκεῖ· καὶ ζωογονεῖ τὰ ἐν γῇ φυόμενα θάλπων, ἀλλ' εἰ μὴ καὶ νότις αὐτοῖς τῇ θάλψει σύμμετρος εἴη, θᾶττον ἀπομαραίνεται· καὶ παρίημι τέως λέγειν, ὡς εἰ μὴ διὰ τὸ διαφανὲς, οὐδ' ἂν τούτων οὐδενὸς ἐγένετο δραστικός. ὡς δῆλον ἐντεῦθεν εἶναι, μὴ ἄνευ τοῦ καὶ τῶν ἔξωθεν προσδεῖσθαι οἷόν τε ἂν εἶναι ποιεῖν μηδὲν ὧν ἂν ποιῇ καὶ τοῦθ' οὕτω τὴν ἀρχὴν τάξαντος τοῦ δημιουργοῦ. καὶ ἐπὶ τῆς σελήνης δὲ πολλὰς, οἱ περὶ τὰ τοιαῦτα ἐσχολακότες, παρατετηρήκασιν ἐνεργείας· ἄλλας μὲν συνοδευούσης ἡλίῳ, ἄλλας δὲ διαμετρούσης αὐτόν· καὶ αὐξομένης μὲν ἄλλας, ἑτέρας δὲ φθινούσης· καὶ τάσδε μὲν μηνοειδοῦς οὔσης, ἐκείνας δὲ διχοτόμου, ἢ ὡς ἂν ἄλλως αὐτοῖς ἑκάστοτε φίλον κατονομάζειν. κατὰ ταὐτὰ δὲ, καὶ τὰ λοιπὰ τῶν οὐρανίων σωμάτων, πολλὰς ἔχει περὶ ἕκαστα τῶν γινομένων ἐνεργείας τε καὶ δυνάμεις· ἀλλὰ καὶ πάθη οὐκ ὀλίγα, πλάνας δηλαδὴ καὶ ἐκλείψεις, διαμετρήσεις τε καὶ συνόδους, καὶ σχηματισμοὺς διαφόρους καὶ παραλλάξεις, φάσεις τε καὶ κρύψεις, μακροχρονίους καὶ βραχυχρονίους, καὶ πολλὰ ἕτερα, ὧν τὴν γνῶσιν ἔχουσιν οἱ περὶ τὰ τοιαῦτα ἐσχολακότες· ἅπαντα παρὰ τὸν δημιουργὸν αὐτοῖς, παρ' οὗ καὶ τὸ εἶναι καὶ τὸ δύνασθαι ἴσχουσιν. καὶ οὐ

κατὰ

ne illa excidit: vel quod non ſemper in ejuſmodi corpus cadat, quod ejus vim recipere poſſit abſque vitio: vel quod ipſe nequeat abſque infirmitate operari, cum moveatur perpetuo, & viciſſitudines ſubeat innumeras, cum nebulis operiatur, & vel minimo corpore interpoſito, puros rebus circumſeptis radios affundere nequeat. Quanquam id ſolis ipſius vitio accidere multi negent, qui rem vel non perpendunt accurate, vel nolunt perpendere. Illuſtrat quidem quam plurimos, ſed obſcurat eos, qui immotis in eum oculis intueri non poſſunt: Fovet eos, qui bona ſunt corporis conſtitutione, ſed multis, qui mala ſunt, ſecus ſe habere videtur: Alit augetque fovendo quæ e terra germinant, ſed niſi humor quoque illis adſit, calori reſpondens, celeriter marceſcunt: Prætereo denique ſilentio, quod niſi per pellucidum ætherem, nequeat hæc omnia efficere, ut manifeſtum inde ſit, non abſque rerum externarum auxilio, quicquam facere poſſe eorum, quæ facit: etiam hoc ita conſtituente ab initio opifice. Lunæ pariter effectus multos obſervarunt, qui his rebus dederunt operam: alios quidem ſubſequentis ſolem, alios ex adverſum poſitæ: Creſcentis alios, alios ſeneſcentis: Alios plenæ, alios dimidiatæ, aut quo hæc cunque illis nominare placuerit modo. Similiter & reliqua cœleſtia corpora multum valent efficacitate & vi ſua, ad ſingula quæ fiunt: Quin & patiuntur multa, errationes ſcilicet & eclipſes, congreſſiones & oppoſitiones, poſitus varios & parallaxes: mox aperiuntur, mox occultantur, diutius, brevius, aliaque multa ſuſtinent, quæ norunt, qui in hoc ſtudio ſunt verſati. Omnia certe illis ab opifice accidunt, à quo & eſſentia iis tributa, & vis ac facul-

καὶ προαιρετικήν τινα δύναμιν, ἢ κινοῦνται ἢ ἐνεργοῦσιν, ἅττ' ἂν ἐνεργῶσιν, ἀλλὰ τῷ παντὶ συμπεριφέρονται καὶ συνδιατίθενται. ἡ δὲ τοῦ παντὸς περιφορὰ οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ θεόθεν ἐστίν. εἰ δὲ καιρῶν ἐστι καὶ χρόνων ἔσθ' ὅτε σημαντικὰ, πόλεών τε καταστροφῆς, καὶ ἐθνῶν ἀνδραποδισμοῦ, εὐομβρείας τε καὶ ἀνομβρείας, καὶ μυρίων ἄλλων· ἀλλ' οὔτοι καὶ ποιητικὰ αὐτὰ αὐτῶν καθ' ἑαυτὰ, οὐδὲ καθ' εἱμαρμένην. διὰ γὰρ τοὺς ἐν θεῷ τῶν ἁπάντων προνοητικοὺς λόγους, καὶ ποιητικά ἐστι καὶ σημαντικά. εἰ καὶ μὴ ὧν σημαντικὰ, καὶ ποιητικὰ πάντων εἰσίν. σημαντικὰ γὰρ τῶν πλείστων ὡς τεκμήρια καὶ σημεῖα, οὐχ ὡς αἴτια. σημαντικὸς μὲν γὰρ ὁ ἥλιος τοῦ ὗσαι αὔριον, ἢ μὴ ὗσαι, διὰ τὸ πάσχειν μέν τι τὸν ἀέρα, διὰ τοῦ ἀέρος δὲ τοιῶσδε ἢ τοιῶσδε ἴσχοντος, αὐτὸν ἡμῖν φαίνεσθαι. οὐ μέντοι ποιητικὸς αὐτὸς τοῦ ὑετοῦ, εἰ μὴ καθ' ὅσον ὡς ὀργάνῳ κέχρηται ὁ δημιουργός. ἀνατέλλει γὰρ αὐτὸν ἐπὶ ἀγαθοὺς καὶ πονηροὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἁμαρτωλούς. ποιεῖ δὲ τοῦτο, χρώμενος ὀργάνῳ, τῷ οἰκείῳ δημιουργήματι ἡλίῳ, καὶ διὰ τῶν αὐτοῦ ἀκτίνων ἐξατμίζων τὴν ὑγρὰν καὶ ὑδατώδη φύσιν, καὶ εἰς ἀέρα πρῶτον μεταποιῶν, εἶτα νεφέλην ἐντεῦθεν καταπυκνῶν, τὴν δὲ νεφέλην εἰς ῥανίδας ὕδατος μεταβάλλων αὖθις καὶ κατακερματίζων, καὶ ὑετὸν οὕτως ἀποτελῶν, ᾧ τὴν γῆν πιαίνων, τὰ ποικίλα τῶν φυτῶν γένη, καὶ τοὺς πολυειδεῖς ἀναδίδωσι καρποὺς, παμμήτορα αὐτὴν καὶ ζείδωρον ἀπεργαζόμενος, ὡς οὕτως εἰπεῖν. οὕτω μὲν οὖν σημαντικός τε καὶ ποιητικὸς ὁ αὐτός· ποιητικὸς δὲ οὐχ ἁπλῶς ἀλλὰ πῇ, ὡς περὶ τομῆς ποιητικὸς ὁ πρίων

τοῦ

tas agendi; nequaquam vero consilio & voluntate vel moventur, vel efficiunt, quæcunque effecerint, sed universi hujus vi comprehensa contorquentur una ac disponuntur: Universi autem conversio non aliunde, quam a Deo proficisci dicenda est. Quodsi aliquando vicissitudines ac tempora significant, vel civitates esse evertendas, vel populos mittendos sub jugum, vel copiam aut penuriam aquarum, alia denique infinita: hæc omnia sane non sua vi & natura, neque fato quodam efficiunt, sed per divinæ, quæ administrat omnia, providentiæ rationes & efficiunt & significant. Licet non omnium, quorum signa præ se ferunt, contineant in se efficientiem: siquidem plurima monstrant ut portenta & signa, non vero ut causæ. Indicat enim sol, cras fore pluviam, aut non fore, eo quod patiatur aliquid aer, ac per illum hoc vel alio modo se habentem sol nobis appareat; ipse interim pluviam non efficit, nisi quatenus eodem utitur instrumenti loco opifex, qui oriri eum jubet in probos & improbos, & pluviam demittit in pios & flagitiosos. Præstat vero hoc ipsum, dum sole, qui proprium ejus est opus, tanquam instrumento utitur, ac ope radiorum illius vaporem ex humidis & aquosis corporibus elicit, primumque convertit in naturam aëris, tum nubem inde compingit, eamque rursus in guttas mutatam dispergit, atque ita pluviam perficit, qua terram rigans, varia genera plantarum, & insatiabilem fructuum varietatem ex eadem effert, ac parentem rerum omnium, & altricem atque educatricem, ut ita loquar, constituit. Hac igitur ratione significat & efficit sol; efficit autem non prorsus, sed aliquo modo, ut sectionem ligni serra,

τοῦ ξύλου, ὡς δὲ καὶ τοῦ υἱοῦ ὁ πατὴρ, καὶ τῶν φυτῶν ἡ γῆ, καὶ πάντων ἅπαντα. ἀνδροκτασιῶν δὲ καὶ ἀνδραποδισμῶν, καὶ καταστροφῆς πόλεων, καὶ ἁπλῶς ὁπόσα ἐν πράξεσι, προνοίας λόγοις ἀῤῥήτοις, εἰ καὶ μὴ ἀεὶ μηδὲ πάντων, σημαντικὰ μόνον· οὐ μὴν καὶ ποιητικὰ οὐδαμῶς τὰ οὐράνια σώματα. ἀλλ' οὐδὲ συγχώσεων γῆς, οὐδ' ἐπικλύσεως ὑδάτων, οὐδ' ἐμπρησμῶν τε καὶ ἐμπυρώσεων, ὅλα διανεμηθέντων γένη, οὐδὲ ναυαγίων μυριοφόρων ὁλκάδων, αὐτοῖς ἀνδράσι παραπεμφθεισῶν τῷ βυθῷ, οὐδὲ χασμάτων καὶ διαστάσεων, οὐδ' ὅσα ἄλλα πανωλεθρίας εἴδη τοιαῦτα, οὐδὲ τούτων ποιητικά· ἀλλ' ἐκ Θεοῦ ταῦτα, τὴν κακίαν ἐκ μέσου ποιουμένου, πολλὴν ἐπιπολάζουσαν τῷ προσώπῳ τῆς γῆς, ἢ καὶ κατά τινα λόγον ἄλλον ὑψηλότερον καὶ θειότερον, καὶ πάντως λυσιτελῆ, ἡμῖν δὲ οὐ καταληπτόν. ἵνα δὴ καὶ τοῖς καταληπτοῖς νομιζομένοις, τοῦ Θεοῦ συνιστῶτο τὸ παντοδύναμόν τε καὶ ἀκατάληπτον. καὶ οἱ πάντα, καὶ τὰ βάθη τῶν Θεοῦ κριμάτων οἰόμενοι ἂν εἶναι καταληπτὰ, ἐντεῦθεν τῷ ἀκαταλήπτῳ τῶν περὶ τὰ κτίσματα παθῶν, ἐξελέγχοιντο καὶ ἐπιστομίζοιντο· πρὸς τὴν θείαν ἀκαταληψίαν ἠρέμα πως ἀνατεινόμενοι, καὶ τὸ πάντων ἀγαθῶν ἐπιγινώσκοντες αἴτιον, εἰ καὶ οὕτως ἀγνωμόνως ἔχουσι καὶ ἀνοήτως ἄγαν, ὡς ἑκόντες μυωπάζειν περὶ τὸ φῶς. εἰ δέ τις μὴ ἀρκεῖται τούτοις, ἀλλ' ἔτι πολὺς ἔγκειται, τὰς ἑκάστων αἰτίας ἐπιζητῶν, ἀλλ' ἡμεῖς γε, καὶ μάλα εὐλόγως, ἐπὶ τὸ ἄπορον καταφευξόμεθα· καὶ ἐροῦμεν, ἀμήχανον εἶναι, φύσιν ἀνθρωπίνην τῶν προνοητικῶν ἁπάντων ἐφικέ-

aut filium pater, terra plantas, universa denique producunt universa. Cædes vero, servitutes, eversiones civitatum, atque in universum quæcunque geruntur, abstruso providentiæ consilio portendunt tantum corpora cœlestia, quanquam non semper nec in omnibus; certe nequaquam efficiunt. Sed neque, quod terræ obruantur, vel aquæ redundent, vel incendia fiant aut deflagrationes, qualia integras solent gentes consumere, vel quod naufragium faciant infinitis onustæ mercibus naves, atque cum ipsis hominibus fundum petant, vel quod terræ motus aut hiatus oriantur, & quæ denique alia populis afferunt exitium: ne hæc quidem inquam à stellis, sed à Deo proficiscuntur. Vel ut malitiam tollat e medio, quæ terram omnem oppleverat: vel alia ex ratione sublimiori atque magis divina, & prorsus salutari quidem, sed nobis incomprehensa. Ut illa quoque, quæ capere nobis mente posse videmur, argumentum præberent, & posse Deum omnia, & comprehendi animo non posse. Utque ii qui omnia, etiam judicia Dei abstrusissima, mente informari posse arbitrantur, dum multa non intelligunt eorum quæ rebus creatis accidunt, refellantur, & compellantur ad silentium: Ac licet adeo sint excordes & stupidi, ut volentes oculos claudant præ luce, paulatim tamen sentiant, Deum cogitatione depingi non posse, eumque omnium esse bonorum auctorem agnoscant. Si quis vero in hisce non acquieverit, sed acrius etiam institerit singularum rerum causas requirere: tum nos quidem, & juste admodum, confugiemus ad infinitatem, & fieri non posse dicemus, ut hominum natura omnes providentiæ rationes assequatur, nisi quantum in eos

deri-

διὰ λόγων, πλὴν ὁπόσον ὁ θεὸς τοῖς αἱρημένοις εὐσεβεῖν ἀποκάμψαι ἠθέλησεν. οὕτως οὖν ἐροῦμεν εὐσεβεῖν βουλόμενοι, ἀλλ᾽ οὐχ εἱμαρμένην ἀποροῦντες, καὶ ἀνάγκην ἐπιστήσομεν τοῖς γινομένοις, ὡς οἱ καθάπαξ ἀσεβεῖν ᾑρημένοι, καὶ αὐτὸ τὸ θεῖον ὡς ἔχει, μονονουχὶ φιλοτιμούμενοι καταλήψει καθυποβάλλειν. ὃ εἰ μὲν καταλαμβάνοιτο, οὐ θεός· εἰ δὲ Θεός, οὐκ ἂν καταλαμβάνοιτο, εἰ μή, ὅσον κατὰ τὸ εἶναι μόνον, καὶ ἀγαθὸν εἶναι, καὶ ὑπεράγαθον, καὶ πάνθ᾽ ὅσα κατ᾽ ἀπόφασιν λέγεται· οὐ μέντοι καὶ τὸ τί εἶναι· τὰ μὲν οὖν ἄλλα πάντα ἐκ Θεοῦ γεγεννημένα, τὰ αὐτὰ καὶ ποιητικὰ τὸν εἰρημένον λέγεται τρόπον, ὡς ὀργανικά. οὐ τῷ δεῖσθαι τούτων τὸν δημιουργόν, καὶ τούτων ἄνευ οὐκ ἂν οἷόν τε εἶναι ποιεῖν· ἄπαγε. ἀλλὰ τῷ οὕτως ἐθελῆσαι, μὴ τούτων ἄνευ ποιεῖν· ἐν ἀρχῆς λόγῳ καὶ αὐτῶν προκαταβληθέντων ἑκάστων. ἄνθρωπος δὲ ψυχῇ τετιμημένος λογικῇ τε καὶ νοερᾷ, καὶ φυσικῶς ὡς ἐκεῖνα δρᾷ, καὶ προαιρετικῶς. ἀλλ᾽ ὁπόσα μὲν φυσικῶς δρᾷ, οὐκ ἐπ᾽ αὐτῷ, θάτερον ποιῆσαι ἢ θάτερον. οὐ γὰρ ἐπ᾽ αὐτῷ ἄῤῥεν ἢ θῆλυ γεννῆσαι, οὐδὲ καλὸν ἢ αἰσχρόν, οὐδὲ τέλειον ἢ ἀτελές, οὐδ᾽ εὐφυὲς ἢ ἀφυές. ἀλλ᾽ ἔγκειται τοῦτο τῇ φύσει τοῖς ἄλλοις παραπλησίως, καὶ ὁποῖον ἡ φύσις ἐμπαρέχει, τοιοῦτον γεννᾷ· τῇ φύσει δὲ τὸ δύνασθαι, πολλάκις εἴρηται, ὡς θεόθεν ἐστίν. ὅσα δὲ προαιρέσει κεχρημένος ποιεῖ, ἐπ᾽ αὐτῷ ἐστιν, ἐπὶ θάτερα γενέσθαι ἢ θάτερα. ὅθεν καὶ βουλεύεται, καὶ κρίνει, καὶ αἱρεῖται κατ᾽ ἐξουσίαν. καὶ ἀγαθὰ μὲν βουλόμενος, ἐπαί-

νων

derivare voluerit Deus, qui probitatem fuerint amplexi. Ita igitur dicendum nobis erit, probis esse volentibus, non autem in bivio constitutis arripiendum cœco impetu fatum, & necessitas præficienda rebus, ceu faciunt qui sanctitatem omnem ejurarunt, quique ipsam divinitatis rationem tantum non affectant animo comprehensam habere. Sane Deus si mente posset comprehendi, Deus non foret; vicissim Deus si est, comprehendi nequit, nisi in quantum & est, & bonus est ac summe bonus, vel quatenus alia quæcunque negando eidem adscribuntur: Certe quid sit dicere non possumus. Proinde quæ reliqua Deus fecit omnia, illa modo jam memorato dicenda sunt aliquid efficere, nimirum ut organa. Non quod horum indigeat opifex, neque operari sine illis possit. Nequaquam. Sed quod non sine illis operari placuerit, quandoquidem illorum in primo statim consilio ratio fuit habita. Homo vero mente præditus, rationis & consilii capace, & physice agit ut cetera, & cum animi quodam proposito. Sed quæ physice quidem agit, in ipso non sunt ita, ut possit vel hoc efficere vel aliud: Nec enim in ipso est, marem ne velit an feminam generare, nec utrum formosum partum an fœdum, nec utrum perfectum an mancum, nec utrum bonæ indolis an malæ; sed situm hoc est in natura perinde ut reliqua, & qualem illi natura suppeditat, talem generat. Naturæ vero hanc vim divinitus esse tributam, dictum est non uno in loco. Jam vero quæ cum proposito peragit homo, in ipsius potestate sunt, huccine velit, an aliorsum convertere. Unde rationem init, subducit, eligit pro arbitrio, & si bona elegerit, laudes merito

νων τυγχάνει δικαίως καὶ ἀμοιβῶν, ἀγαθὸς τῇ μεθέξει τοῦ ἀγαθοῦ καλούμενος καὶ ἐνάρετος, καὶ ὅσαι τίκτονται προσαγορίαι ἐξ ἀρετῆς· κακὰ δὲ τὰ τούτων ἐναντία. λόγῳ δὲ κεχρημένος, καὶ Θεῷ ὡς ἐφικτὸν τῇ ἀρετῇ ὁμοιούμενος, ἔσθ' ὅτε καὶ προγινώσκειν ἔχει τὰ μέλλοντα. ἢ ἐπιστήμῃ βοηθούμενος, ἐφ' ὅσον ἔξεστι καὶ ὡς θεμιτὸν, σημείοις τοῖς οὐρανίοις χρώμενος σώμασιν, ὡς ὁ προφήτης ὑφηγεῖται Μωυσῆς, λέγων περὶ τῶν οὐρανίων σωμάτων ἐκ προσώπου τοῦ Θεοῦ· ἔσονται εἰς σημεῖα καὶ εἰς καιροὺς, καὶ εἰς ἐνιαυτούς· ἢ ἐξ ἀρετῆς, ἀποκαλύπτοντος αὐτῷ τοῦ Θεοῦ. ὅσα μὲν οὖν ἐξ ἀποκαλύψεως προγινώσκεται, ταῦτα καὶ ἀπταίστως ἐπιτυγχάνεται, καὶ ὡρισμένως ἔσται τὰ ἕτερα, ἀλλ' οὐχ ὁπότερ' ἔτυχεν. ὅσα δὲ βοηθουμένοις ἐξ ἐπιστήμης, εἰ μὲν ἐφ' ὅσον ἐνδέδοται, καὶ μετὰ τοῦ ἀγαθοῦ κεχρημένοις τῇ ἐπιστήμῃ, τὸ δέ ἐστι, τὸ μὴ ἄνευ Θεοῦ, καὶ τοῦ ἐκεῖθεν, τὴν κατάληψιν τῶν ἐσομένων ἐπιζητεῖν· ἔσθ' ὅτε μὲν καὶ ταῦτα ἐξ ἀνάγκης ἐπιτυγχάνεται, ἀξίως τε αἰτοῦσι, καὶ τοῦ λυσιτελοῦς τῇ προγνώσει ἐνόντος· ἔσθ' ὅτε δὲ καὶ διαπίπτει τῆς ἀληθείας ἡ πρόρρησις, ἀπατηλῆς ἐγγινομένης τῆς γνώσεως, καὶ πόῤῥω τῆς θείας χειραγωγίας, ἢ διὰ τὸ μὴ ἀξίως αἰτεῖν, ἢ διὰ τὸ μὴ λυσιτελεῖν ἀληθῶς προγνῶναι, ἃ προγινώσκειν αἰτούμεθα. εἰ δὲ παρὰ τὰ ἐνδεδομένα, καὶ παρὰ τοῦ πρέποντος, τῷ καθ' αὑτὴν τῇ ἐπιστήμῃ θαῤῥεῖν, ὅπερ ἠρέμα πως εἰς ὑπερηφανίαν ἐξάγει, οὐκέτι τοῦτο θεῖον, οὐδὲ τοῦ ἀπταίστου ἔχεται παντελῶς. ἀλλὰ τὸ μὲν πλεῖστον, τὰ τοιαῦτα ἀποτυγχάνεται. εἰ δ' ἔσθ' ὅτε δοκεῖ καὶ ἐπιτυγχάνεσθαι, ἀλλ' οὐχ ἁπλοῦν τι, οὐδὲ προσδιορισμῶν ἄνευ τὸ τοιοῦτο τῆς προῤῥήσεως εἶδος, ἀλλ' εἰκασικῶς τε καὶ στοχαστικῶς, καὶ οὐ προσδιορισμῶν ἄνευ,

ἀμ-

consequitur & præmia, & vir bonus vocatur, quoniam boni & virtutis est particeps, aut si quæ alia virtus parit nomina. Sed contraria omnia accidunt, si mala elegerit. Jam igitur, si ratione utatur, & Deo, quantum licet, virtute fuerit factus similis, continget, ut aliquando quæ futura sint, præsciat. Vel quod arte juvetur, & quantum licet ac fas est, signa capiat e corporibus cœlestibus, ceu Propheta Moses Deum de corporibus cœlestibus loquentem facit: Erunt vobis signis, temporumque puncta & annos denotabunt: Vel quod virtute id consequatur, per revelationem divinam. Quæcunque igitur ex revelatione præsciuntur, certo respondere debent eventui, & reliqua quidem definite fieri debent, secus autem fortuita. Sed quæ artis auxilio præsciuntur ab hominibus, si scilicet, quantum datum est, & secundum id quod par est, illa utantur, puto, non sine Deo, ac implorata ab ipso præsensione rerum futurarum: illa aliquando apte colliguntur, si nimirum digne expetierint & expediat præscire. Sed aliquando etiam à vero aberrat prædictio, cum fallax fuerit scientia, atque procul à divina gubernatione recesserit: vel quod minus ut par erat rogaverimus, vel quod non expediat vere præscire ea quæ petieramus. Rursus, si contra quam concessum est, & aliter ac decet, prædicere conemur, dum scientiæ sibi relictæ confidimus, id quod sensim evehit ad superbiam: tum non amplius id est divinum, neque ullam habet cum certo societatem; sed ut plurimum quidem illa aberrant a scopo, vel si aliquando videantur illum attigisse, at certe non erit simplex & conditionibus solutum prædictionis genus, sed conjecturæ ac hario-

 lationi

ἀμφιῤῥεπῆ ποιούντων τὴν πρόῤῥησιν, καὶ μὴ ὡρισμένως ἐξεργαζόντων αὐτὴν ἐπὶ θάτερα. ὡς δ' ἐκ μαντικῆς ἐπινοεῖ γνώσεις ἑκάστοτε ὁ μὴ βουλόμενος εὐσεβεῖν, ταύτας οὔτε ἀγαθὰς οὐδόλως νομιστέον ἢ ὀνομαστέον, καὶ τῆς τῶν δαιμόνων ἐνεργείας οἰητέον ἀποτελέσματα. ὡς τὸ μὲν πλεῖστον ἡγητέον ψεύδεσθαι. εἰ δὲ ἔσθ' ὅτε καὶ ἀληθεύειν δοκοῖεν, ἀλλ' οὐχ ἁπλοῦν τι, οὐδ' ἀποίκιλον τὸ ἀληθεύειν δοκοῦν· ἀλλ' ἐκ στοχασμοῦ τινος, καὶ οὐκ ἐξ ἀπλανοῦς καταλήψεως, ἡ δοκοῦσα τῆς ἀληθείας ἐπίτευξις· προσδιορισμῶν τινῶν ἑκάστοτε προσκειμένων, ἀμφιῤῥεπῶς ἐχόντων, πολυῤῥεπῶς δὲ μᾶλλον ὡς τὰ πολλὰ εἰπεῖν οἰκειότερον, καὶ οὐχ ὡρισμένως ἐπὶ θάτερα φερομένων. ἵν' ἀποφυγὴν ἔχοιεν ἐπὶ θάτερα, οἱ ἐμφιλοτιμούμενοι τῷ μαντεύεσθαι, καὶ ὅπερ ἀποβαίη, τοῦτο καὶ αὐτοὺς προαγορεύειν δοκοῖεν. ὅτε καὶ πολύ ἐστιν ἀκούειν, ὡς ἐπὶ τὸ πλεῖστον λεγόμενον· εἰ τόδε τι εἴη, τόδε τι ἔσαι, εἰ μὴ τόδε τι εἴη, οὐκ ἔσαι τόδε τι. ὡς ἔχει καὶ τό· Κροῖσος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει. οὐ γὰρ δῆλον, πότερον τὴν ἀλλοτρίαν ἢ τὴν αὐτοῦ. καὶ τό· τεῖχος ξύλινον ἀθηναίοις διδοῖ τριτογένεια ἀθηνᾶ. οὐ γὰρ δῆλον ὡρισμένως, τί τὸ ξύλινον τεῖχος. καὶ πολλὰ ἕτερα, καθόλου παραπλησίως πάντων ἐχόντων. τοῦτο δὲ γίνεται τὴν τοῦ ἀγαθοῦ φαντασίαν τῶν δαιμόνων ὑποδυομένων, καὶ διὰ τοῦ δοκοῦντος ἀγαθοῦ τῆς προῤῥήσεως, τὴν τῶν ἀνθρώπων ἀπώλειαν μηχανωμένων, καὶ κατὰ μικρὸν οὕτω τῆς θείας ἀποσπώντων χειραγωγίας. ὃς δὴ τρόπος τῆς καθ' ἀνθρώπων τῶν δαιμόνων ἐπιβουλῆς. ἐπειδὴ γὰρ ἀνθρώπων οὐδένα ῥάδιον μετελθεῖν αὐτὸ προδεικνύντα ὡς ἔχει γυμνὸν τὸ κακὸν, διὰ τῶν ἑκάστοις ἀγαθῶν νομιζομένων ἑκάστοτε

ποι-

lationi simillimum, & conditionibus ejusmodi impeditum, quæ anticipitem reddant prædictionem, neque definite alterutrum statuant. Quas vero divinatione elicuerit prædictiones, quicunque irreligiosus esse voluerit, illas ne quidem bonas omnino habere debemus aut nominare, sed dæmonum ope productas arbitrari. Quas quidem fallere ut plurimum est existimandum; aut si quando vera dicere videantur, non tamen simplex erit aut rotundum, quicquid habuerit veri speciem, sed a conjectura quadam, nequaquam vero a certa perceptione, illa veri, quæ videtur, adeptio erit repetenda: ita quidem, ut conditiones ubique adjectæ sint, quæ ancipitem vel ut de plerisque rectius diceremus, in varias partes versatilem reddant orationem, neque definite ad alterutram partem inclinent. Quo nimirum habeant, qui ambitiose jactitant artem divinam, ad utrumvis effugium, & quicquid tandem evenerit, id ab ipsis prædictum videatur. Nam utplurimum audimus ita dici: si hoc fit, istud eveniet, si non fit, non eveniet. Cujus generis erat & illud: Croesus Halyn penetrans magnam pervertit opum vim. Nec enim patet, utrum alienas, an suas. Item hoc: Ligneum murum dat Atheniensibus capite Jovis edita Minerva. Non enim definite liquet, quid iste sibi murus velit ligneus: aliaque multa, sui omnia quam simillima. Hoc vero accidit, dum speciem boni subeunt Dæmones, & per id, quod videtur bonum, hominum perniciem machinantur, atque sic eos paullatim a divina abstrahunt gubernatione. Qui sane mos est Dæmonum, quo solent insidiari hominibus. Nam cum nemo facile consectetur eum, qui nudum præ se tulerit malum, per id quod cuique

ποιοῦνται τὴν ἔφοδον, καὶ οὕτω τοῦ ἀληθοῦς ἀποσχοινίζουσιν ἀγαθοῦ, εἰ μὴ προσέχοι τις ἑαυτῷ. τοῦτόν τε οὖν τὸν τρόπον αἱ προγνώσεις γίνονται καὶ προῤῥήσεις, καὶ τὸ τῶν μελλόντων ὡρισμένον ἐκ μέσου γινόμενον δείκνυται. καίτοι εἰ καὶ ὅτι μάλιστα δοθείη, ὡρισμένα εἶναι τὰ μέλλοντα, οὐδὲν μᾶλλον ἐντεῦθεν εἱμαρμένη ἡ αὐτὰ ὁρίζουσα ἔσται. περὶ τούτου δὲ ἐν τοῖς εἰρημένοις ἐστίν. πρὸς τὸ δείκνυσθαι οὖν εἱμαρμένην εἶναι, οὐδ' ὁπωσοῦν ἀνάγκης, οὐδ' ὁ λόγος ὅδε, μετέχει· πάσης μὲν οὖν ἀνάγκης ἀμοιρεῖ ἀναγκαίως. τὰ δὲ περὶ τοῦ διατιθέναι τε καὶ διατίθεσθαι οὐ πάνυ τοι ἐγκαίρως φιλοσοφηθέντα, λέγοντι· „ἴσασί τε οὐκ ἄλλως, „ἢ τῷ διατιθέναι τε καὶ αἴτιοι εἶναι αὐτῶν. οὐ γὰρ ἂν τῷ „διατίθεσθαί πη ὑπὸ τῶν τῇδε, γινώσκοιεν αὐτά. οὐ „γὰρ θέμις, οὐδ' οἷόν τε, θεοὺς ὑπὸ χειρόνων, καὶ μὴ ὄν„των γέ πω διατίθεσθαι. ταῦτα τοίνυν οὐδὲν ἔχει κοινὸν ἡμῖν τε καὶ Πλήθωνι. ἀπαθὲς γὰρ ἡμεῖς τὸ θεῖον πρεσβεύομεν, καὶ θελήματι μόνῳ τὰ πάντα παράγειν, καὶ τὴν τῶν ὄντων γνῶσιν, ἐν τῷ ἀπείρῳ τῆς γνώσεως ἔχειν, καὶ ἡμῖν ἀκαταλήπτῳ τε καὶ ἀγνώστῳ. Πλήθωνι δὲ τὸ θεῖον οὐκ ἀπαθές. εἰ γὰρ καὶ μὴ τῷ λόγῳ φησὶν οὕτω, ἀλλὰ τῷ γε πράγματι, ἀνάγκη, μὴ ἂν ἄλλως ἔχειν αὐτό· πληθυνόμενόν τε καὶ εἰς πολλὰ κατακερματιζόμενον· καίτοι καὶ τῷ λόγῳ τοιοῦτον λέληθεν ἑαυτὸν πρεσβεύων αὐτό. εἰ γὰρ μὴ πάντας ὅσους πρεσβεύει, ἀλλὰ τούς γε παρὰ τὸν Δία πάντας, δούλους εἶναί φησιν εἱμαρμένης τε καὶ Διός· φησὶ γάρ· „εἰ δὲ τῷ ἄρχεσθαί τε καὶ μὴ, ὁρίζεταί τις τήν „τε δουλείαν καὶ ἐλευθερίαν, οὐ μόνον οὐκ ἂν ἀνθρώ„πων οὐδεὶς εἴη ἐλεύθερος, ἀλλ' οὐδ' ἂν θεῶν ἄλλος

τις,

videtur bonum, ſtruunt inſidias, atque ita, ni ſibi quis caveat, à vero bono ſecludunt. Hac igitur ratione præſcitur quid & prædicitur, atque non eſſe definita quæ futura ſunt omnia evincitur. Licet, ſi vel maxime res futuras definitas eſſe conceſſeris, nihilo inde magis poſſit cogi, fatum id ipſum eſſe, quod eas definiat. Sed de his ſupra dictum eſt. Quare ne hæc quidem ratio, eſſe fatum, ulla ratione apte concludit, omnique neceſſario nexu deſtituitur. Prorſus vero nobis cum Plethone non convenit, circa ea, quæ minus opportune philoſophatur, utrum Dii res diſponant, an ab iis diſponantur & afficiantur? „ Norunt, inquit, Dii fu-„ tura non aliter, niſi dum diſponunt, & cau-„ ſa illorum ſunt. Nec enim temere ſciverint, „ ut afficiantur ab iis quæ hic geruntur: ſiquidem „ nefas eſt, ac ne fieri quidem poteſt, ut affici-„ antur Dii a rebus pejoris conditionis, & quæ „ non ſunt. Nos enim quicquam pati Deum negamus, ſoloque nutu dicimus omnia producere, atque omnium quæ ſunt ſcientiam infinita ſua nobiſque incomprehenſa & ignorata cognitione complecti. Plethoni vero Deus patibilem habet naturam: Quod quanquam verbis non dicat, re tamen, neceſſitate ſcilicet, aliter ſe non habere demonſtrat, quoniam multiplicatum & in plures partes diſcerptum inducit. Enim vero ipſis quoque verbis inſcius tales tradit eſſe Deos: Nam licet non omnes, quos laudat, reliquos tamen, præter Jovem omnes, dicit eſſe ſervos fati atque Jovis. „ Si „ quis, inquit, ſervitutem & libertatem ex eo de-„ finiendam judicet, utrum quis imperio ſubjectus „ ſit, an minus, non ſolum hominum nemo, ſed

„ ne

,, τις, πλὴν Διός· ἄλλων μὲν ἄλλοις τῷ ἄρχεσθαι δου-
,, λευόντων, ἁπάντων δ' ἀπὸ Θεῶν ἀρξαμένων, τῷ
,, κοινῷ δεσπότῃ Διΐ. δούλους δὴ οὖν φησι τοὺς ἄλλους Θεοὺς, τοῦ Διός, ὃ δὲ δοῦλόν ἐστι, τοῦτο οὐκ ἀπαθές ἐστι δήπου. εἰ γὰρ καὶ μηδὲν ἄλλο πάσχειν ἐστὶν, αὐτὸ τοῦτο τὸ δουλεύειν, πάσχειν ἐστίν. ἄλλος οὖν ἄλλα καὶ προγινώσκει καὶ διατίθησιν, εἰπεῖν κατὰ Πλήθωνα· πάντα δὲ οὐδεὶς, οὐδὲ ὁ Ζεὺς αὐτὸς, ὃν ὑπερτίθησι πάντων, καὶ ὃν μόνον ἐλεύθερον εἶναί φησιν. καίτοι καὶ αὐτὸν ἀποφαινόμενος ἀνάγκῃ δουλεύοντα, ἐν οἷς φησι τὴν μεγίστην πασῶν ἀνάγκην ἔχειν αὐτόν· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ τὴν μεγίστην ἀναγκῶν ἔχειν, ἢ ἀναγκαζόμενον ἀναγκάζειν τοὺς ἄλλους. καίτοι καὶ κατὰ τοῦτο δῆλός ἐστιν αὐτὸς ἑαυτῷ περιπίπτων· νῦν μὲν λέγων, τὴν μεγίστην πασῶν ἀνάγκην αὐτὸν εἶναι τὸν κεκτημένον· νῦν δὲ τὴν ἀγάγκην τἀγαθὸν αὐτὸ καὶ τὸν Δία ἀποφαινόμενος. ὃ ταυτὸν δύναται τῷ, ἔχοντα μὲν τὸν Δία καλεῖν, τὴν δὲ ἀνάγκην ἐχομένην, καὶ αὖ αὐτό γε τοῦτο ἀρνεῖσθαι· ἢ τότε μὲν αὐτὸν τὸν Δία λέγειν εἱμαρμένην, τότε δὲ τοῦ Διὸς ἕτερον, τὴν ἀνάγκην ἣν ἔχειν λέγει τὸν Δία. ἀλλ' ὅπερ ἐλέγομεν, ἃ περὶ τοῦ διατιθέναι καὶ διατίθεσθαι φιλοσοφεῖ Πλήθων, οὐδὲν ἔχει κοινὸν ἡμῖν τε καὶ αὐτῷ. ἡμεῖς γὰρ ἀπαθὲς τὸ Θεῖον εἶναι πρεσβεύοντες, οὔτε τῷ διατιθέναι γινώσκειν φαμὲν, οὔτε τῷ διατίθεσθαι· ἀλλ' ὑπὲρ ταῦτα, καί τινα τρόπον ὑψηλότερον, νῷ τε οὐ περιληπτὸν, καὶ λόγῳ οὐ λαλητόν. καὶ οὐκ ἂν οὕτως οὔτε εἱμαρμένη τεθείη μὲν, οὔτε τὴν διάθεσιν αὐτῷ, κατ' οὐ

δέτερον,

„ ne Deorum quidem ullus, præter Jovem, liber „ erit: aliis nimirum aliorum imperio subjectis, „ adeoque servientibus, omnibus autem, inde usque „ a Diis, parentibus communi Domino Jovi. Reliquos ergo Deos servos dicit esse Jovis. At servus qui est, non est à patiendo liber. Nam si aliud nihil est pati, vel istuc est, servum esse. Alius igitur alia præscit & disponit, ut secundum Plethonem loquar, universa vero nemo, ne ipse quidem Jupiter, quem imponit in omnium cervicibus, & solum liberum esse profitetur. Quanquam hunc eundem quoque designat servientem necessitati, dum omnium maximam eum sustinere dicit necessitatem: Idque vel eo magis, quod maximam omnium fert necessitatem, eaque coactus ipse, cogit alios. Enimvero liquet, ipsum sibi hac in re repugnare Plethonem, dum mox Jovem dicit sustinere maximam omnium necessitatem, mox hanc ipsam necessitatem cum summo bono & Jove confundit. Quod idem est, ac Jovem eum nominare, qui habeat, necessitatem vero, quæ habeatur; rursus vero id ipsum negare: Vel nunc fatum vocare ipsum Jovem, nunc illam necessitatem, quam Jupiter teneat, aliquid ab eodem diversum dicere. Sed, quod jam monuimus, quæ quidem philosophatur Pletho, utrum Dii res disponant, an ab iis disponantur & afficiantur, de iis nobis cum illo prorsus non convenit. Nos enim negamus, quicquam pati Deum, neque eum scire dicimus res, ut vel easdem disponat, vel ab iis disponatur, sed longe augustius & modo sublimiori, quam qui comprehendi animo, aut verbis describi possit. Quare ita neque fatum erit necesse ponere, neque illam dispositionem alterutro modo ad-

δέτερον, ἐπὶ Θεοῦ συγχωρήσομεν, οὐδὲ τὰ μέλλοντα ὡρίσθαι συνομολογήσομεν πάντα. αὐτὸς δὲ Θεοῖς προσανέχων ματαίοις, καὶ πολὺ τὸ ἐμπαθὲς ὑποφαίνουσιν, ἐῶ γὰρ λέγειν μὴ οὖσι, καλῶς διαιρούμενος, οὐ τῷ διατίθεσθαί φησιν, ἀλλὰ τῷ διατιθέναι γινώσκειν αὐτοὺς τὰ ἐσόμενα. ἵνα ἢ μὴ μόνον ἀγαθῶν αἴτιοι, ἀλλὰ καὶ μὴ τοιούτων δεικνύοιντο, ἢ μὴ πάντα γινώσκοιεν, ἀλλ' ἃ διατιθέασι μόνον, ἃ δὲ μὴ διατιθέασι, μηδὲ τὴν γνῶσιν ἔχοιεν αὐτῶν· ἀμήχανον ὂν καὶ οὐ θεμιτὸν, ὥς φησι, θεοὺς ὑπὸ χειρόνων καὶ μὴ ὄντων γέ πω διατίθεσθαι. καίτοι εἰ ἄτοπον τὸ ὑπὸ μὴ ὄντων διατίθεσθαι, πῶς οὐκ ἀτοπώτερον, τὸ τὰ μήπω ὄντα διατιθέναι; τὸ γὰρ διατιθέναι, τοῦ διατιθέντος τε καὶ ἐν τῷ διατιθεμένῳ ἐστὶν, καὶ οὐκ ἂν εἴη θάτερον τοῦ ἑτέρου χωρίς. εἰ οὖν τὰ μὲν διατιθέμενα οὔπω εἰσὶν, οἱ δὲ Θεοὶ καὶ πρὶν αὐτὰ εἶναι διατιθέασιν· ἴσασι γὰρ οὐκ ἄλλως ἢ τῷ διατιθέναι· ἢ πρὶν εἶναι τὰ διατιθέμενα οὐδὲ ἴσασιν, ἢ εἰ ἴσασιν, ἔσται τὸ διατιθέναι ἄνευ τοῦ διατίθεσθαι. τοῦτο δὲ δοκεῖ ἀδύνατον εἶναι. οἶδεν οὖν ὁ Θεὸς τὰ ἐσόμενα, οὐ τῷ διατιθέναι, ἀλλ' ὑπὲρ τὸ διατιθέναι· οὐδὲ τῷ δεκτικὸς εἶναι γνώσεως, ἀλλ' ὑπὲρ γνῶσίν τε καὶ ὑπεραγνώστως. Πλήθωνι δὲ ἡ θεοποιΐα καὶ δεκτικὴ γνώσεως, καὶ μυρίων ἀνάπλεως παθημάτων· ἄλλων τε, καὶ δὴ καὶ τῶν ἐναντίων. εἴπερ τὸ τοῦ ἑτέρου τῶν ἐναντίων δεκτικὸν, καὶ τοῦ ἑτέρου εἶναι, λόγοι φιλοσοφίας ἀξιοῦσι. πᾶν δὲ τὸ γινῶσκον, ἢ μεθέξει καὶ τῷ διατίθεσθαί πῃ ὑπὸ τοῦ γνωστοῦ γινώσκει, ἢ αἰτίᾳ καὶ

τῷ

mittemus, neque futura omnia confitebimur esse definita. Ipse autem Pletho vanos secutus Deos, qui variam præ se ferunt imbecillitatem, nolo enim nunc dicere, qui non sunt, pulchre scilicet in duo membra partitus orationem, non ita dicit nosse Deos futura, ut ab iis disponantur, sed ut eadem disponant: Ut vel non bonorum modo, sed & malorum declarentur auctores, vel non omnia scire ostendantur, sed ea tantum quæ constituant, & quæ non constituant ignorare; Cum fieri non possit, ac nefas dictu sit, secundum ipsum, Deos a rebus pejoris conditionis, & quæ non sunt, disponi. At enim, si absurdum est, Deos ab iis, quæ non sunt, disponi, quidni sit absurdius, illa quæ nondum sunt disponere? Hic enim actus in eo est qui disponit, & ad illud transit quod disponitur, neque alterum poterit ab altero sejungi. Quodsi igitur, quæ disponuntur, nondum sunt, Dii autem illa etiam ante disponunt quam sint, efficitur, ut vel ignorent res quæ disponuntur antequam existant, aut si sciunt, ipsi quidem disponant, nihil vero sit quod disponatur. Hoc autem fieri non posse videtur. Novit igitur Deus quæ futura sint, non quidem disponendo illa, sed modo quodam sublimiori: neque ut accipere debeat cognitionem, sed ratione quadam, quæ cognitione sit augustior, & valde ignoretur. Sed commentitii Plethonis Dii & accipiunt cognitionem, & variis laborant affectionibus: tum aliis, tum etiam contrariis. Nam quod alterutrius contrariorum est capax, in illud quoque alterum cadere posse rationes philosophiæ dictitant. Præterea id quod cognoscit, statuente Plethone, vel ita cognoscit, ut particeps fiat ejus quod cognoscitur, sive ab illo di-

τῷ διατιθέναι· τὸ δὲ διατιθέναι καὶ διατίθεσθαι ἐκ διαθέσεως, ἢ τοῦ τε διατιθέντος καὶ τοῦ διατιθεμένου ἐστίν. εἰ δὲ διάθεσιν τὴν οἱονεὶ προδιατύπωσίν τε καὶ προδιαζωγράφησιν εἴποι, οὐδὲν τοῦτο πρὸς λόγον. οὐ γὰρ ἡ προδιατύπωσις αὕτη διατίθησι τὰ διατιθέμενα· ἀλλ' ὁ διατιθεὶς, αὐτῇ διατίθησιν, ὡς καὶ αὐτὸν αὐτῇ ἐν ἑαυτῷ διατίθεσθαι, δεχόμενον ταύτην ἐν ἑαυτῷ. εἰ γὰρ μὴ δέξεται, οὐδὲ προδιατυπώσει οὐδόλως. ὡς κἀντεῦθεν, ἅπερ ἀποφυγεῖν πειράσεται, τούτοις οὐδὲν ἧττον περιπεσεῖν· καὶ χείρονι πρὸς τούτοις, τῷ ὡς ἐν ἀγνοίᾳ τοῦ ὀφειλομένου τοῖς γενομένοις τελείου καὶ ἀγαθοῦ, τὴν προδιατύπωσιν γίνεσθαι, ἵνα μὴ ἐν τῷ διατιθέναι τοῦ καλοῦ διαμάρτωσιν· εἰ δὲ καὶ ἄλλως οὐκ ἂν συμβαίη γνῶσις, „ μή τινος ἂν, „ ὥς φησι, καὶ γινώσκοντι πρὸς γνωστὸν κοινωνίας γενο- „ μένης, ἄξιον ἐρέσθαι Πλήθωνα, τίς ἡ κοινωνία αὕτη τοῦ γνωστοῦ τε καὶ γινώσκοντος; πότερον οἵα γένοιτ' ἂν αἰτίου τε καὶ αἰτιατοῦ; ἀλλ' ὃ πολλάκις εἴρηται, ὧν αἴτιον μόνον τὸ γινῶσκον, ἐκεῖνα γνώσεται, ὧν δὲ μὴ, ταῦτα οὐ γνώσεται. ὥστε ἢ οὐ πάντα γνώσεται, ἢ οὐ μόνων ἀγαθῶν αἴτιος ὁ Θεός. ἀλλ' οἵα γένοιτ' ἂν μετέχοντος καὶ διατιθεμένου; ἀλλ' ἡ τοιαύτη οὐκ ἀπαθὴς, καὶ τοῦ μετεχομένου πάντως ὑστέρα. τὸ γὰρ μετέχον ὕστερον τοῦ μετεχομένου, καὶ τὸ διατιθέμενον, τοῦ διατιθέντος. εἰ γὰρ καὶ μικρῷ πρό-

σθεν

ſponatur: vel ita, ut cauſa ſit diſponendi. Sed ut diſponat quid aut diſponatur, diſpoſitio efficit, quæ in utroque ineſt, & qui diſponit, & quod diſponitur. Quodſi vero diſpoſitionem eam dixerit, quæ ſit antecepta quædam animo deſignatio atque deſcriptio, id quidem nihil faciet ad rem. Nec enim hæc antecepta deſcriptio diſponit quæ diſponuntur, ſed qui diſponit, diſponit ſecundum illam: quemadmodum & ipſe ab eadem intra ſeſe diſponitur atque afficitur, dum illam in ſe recipit. Nam ſi non reciperet, ne deſcriberet quidem omnino futura: ut & hac ratione in id, quod conabitur effugere, incurrat; quin & pejori hocce, nimirum ut illa deſignatio fiat abſque notitia ejus, quæ rebus debetur, perfectionis ac bonitatis, cum tamen illa requiratur, ne inter diſponendum, res ab eo quod bonum ſit aberrent. Si præterea aliter nulla hauritur cognitio, „ niſi, ut Pletho dicit, quædam ſit co„ gnoſcenti cum re cognita communio, operæ pretium erit ex Plethone requirere, quæ ſit iſta communio inter rem cognitam & cognoſcentem: num ejuſmodi, qualis inter cauſam & effectum? Sed, quod dictum fuit ſæpius, efficietur, eum qui cognoſcit, illa tantum ſcire, quorum cauſa fuerit, quorum vero non fuerit, illa neſcire. Ut proinde vel non omnium habiturus ſit notitiam Deus, vel non ſit bonorum unice futurus cauſa. Talemne vero cognoſcentis dicet communionem, qualis eſt ejus qui particeps fit & diſponitur? At hæc certe eum facit patientem, & omnino poſterior eſt re illa, cujus cognoſcens fit particeps. Id enim quod participat aliquid, neceſſe eſt poſterius eſſe eo, cujus fit particeps: quod diſponitur eo, qui diſponit. Quam-

σθὲν ἐλέγετο, μὴ ἂν εἶναι διατιθὲν διατιθεμένου χωρὶς, ἀλλ' ἢ διατιθὲν καὶ διατιθέμενον ἐλέγετο τοῦτο, οὐχ ἢ ἄλλο τι, ὃ πρότερον ὂν, ὕστερον διατίθησιν· ὡς τὸ μέλι γλυκὺ καθ' αὑτὸ πρότερον ὂν, τὴν γεῦσιν ὕστερον διατίθησι, πρότερον οὐ διατιθὲν οὐδὲν τῇ γλυκύτητι. εἰ οὖν κατ' οὐδετέραν τούτων τῷ Θεῷ κοινωνεῖ τὰ ὑπὸ τοῦ Θεοῦ γινωσκόμενα, τῷ ἑκατέρᾳ ἐπειδὴ ἄτοπον, εἰ καὶ τῇ ἑτέρᾳ φησὶ Πλήθων, ῥηθέον τίς ἂν εἴη παρὰ ταύτας ἑτέρα· ἢ οὐκ ἂν εἴη οὐδεμία. ἢ ἔστι μέν τις ἀληθῶς, ἡμῖν δὲ ἀκατανόητός τε καὶ ἄῤῥητος, καὶ βέλτιον ἐπὶ τὸ ἄπορον καταφεύγειν, ἢ πάντων τὴν κατάληψιν ἐπιζητοῦντας, καὶ μὴ ἐφικνουμένους, εἰς ἀσέβειαν ὑποκαθιέναι. ἄλογον δὲ καὶ τὸ οἴεσθαι, τῷ ὡρισμένῳ τῆς τοῦ Θεοῦ γνώσεως, τὸ ὡρισμένον ἕπεσθαι τῶν ἐσομένων καὶ ἀναγκαῖον· εἰ δὲ μὴ τοῦτό εἴη, τὴν πάντων γνῶσιν μὴ ὑποπίπτειν τῷ Θεῷ, μηδ' ὃ τούτου χεῖρον, ἅττα ποτὲ δράσει μὴ εἰδέναι. φησὶ γάρ· „ εἴτε καὶ αἴτιοι
„ μὲν εἶεν τῶν τῇδε οἱ Θεοὶ, μὴ ἀνάγκῃ δὲ μηδ' ὡρισμέ-
„ νως εἶεν αἴτιοι, ὧν ἂν αἴτιοι γίγνοιντο, οὐδ' οὕτως ἂν
„ εἰδοῖεν ἅττα ποτὲ δράσουσι, μὴ οὐκ ἀναγκαίως τε ἐξ
„ αἰῶνος πρὸς αὐτὰ καὶ ἀπαρατρέπτως ἔχοντες. πάντα γὰρ γινώσκει ὁ Θεὸς, οὐ πάντων δὲ αἴτιος. οὐ γὰρ δὴ καὶ τῶν ἐφ' ἡμῖν. ἐρήσομαι δὲ τοσοῦτον αὐτόν· πότερον οἴεταί τι τὸ ἐνδεχόμενον, ἢ οὐκ οἴεται; εἰ μὲν οὐκ οἴεται, καὶ τίς αὐτοῦ οὐ καταγελάσεται, οὐδενὶ τῶν πάντων ἀγνώ-

quam enim modo dicebamus, esse hæc duo conjuncta, id tamen eatenus dictum fuit, quatenus ut disponens & dispositum considerantur, non quatenus illud est aliquid diversum, quod cum jam ante fuerit, deinde disponit. Quemadmodum mel, cum jam ante sua natura dulce sit, postea gustum disponit, cum ante nihil illa dulcedine affecerit. Quodsi igitur neutra ratione Deo est cum rebus cognitis communio, quod ex utraque aliquod absurdum fluat, licet ex altera tantum id sequi Pletho judicet, dicendum, quænam sit alia præter hasce, aut profecto nulla erit; aut erit quidem aliqua, sed quam nec mente assequi possimus nec oratione. Præstabitque adeo ad infinitatem confugere, quam, dum omnia complecti nitimur cogitatione, neque attingere possumus, istam subire improbitatem. Absurdum præterea est, existimare, quod ex definita ratione cognitionis divinæ sequatur, etiam quæ futura sint, esse definita & necessaria: vel si hoc non sit, ne omnium quidem rerum notitiam Deo subjici, vel, quod pejus est, eundem quæ facturus sit ignorare. „ Si enim, inquit, Dii es-„ sent quidem omnino causæ rerum, quæ hic „ geruntur, neque tamen ex necessitate aut defini-„ te efficerent quæcunque effecerint, ne sic quidem „ scirent, quæ sint aliquando facturi, cum non ne-„ cessario ex æternitate atque constanter ad eadem „ fuissent lati. Novit enim Deus omnia, sed non omnium causa est. Non enim profecto eorum, quæ in nostra potestate sunt. Tantum modo a Plethone requiram, utrum quid arbitretur contingens, an non arbitretur? Sin minus, quis quæso erit, cui non debeat ludibrium, cum rerum contingentium natura

ςου τοῦ ἐξ ἐνδεχομένου σχεδὸν φύσεως οὔσης; εἰ δέ τι οἴεται εἶναι, ῥηθέον, πῶς περὶ αὐτὸ ὁ Θεὸς ἔχει. ὡρισμένως καὶ ἐξ ἀνάγκης; ἀλλ' ἐνδεχόμενον. ἀλλ' ἀορίστως; ἀλλ' ἄτοπον εἶναί τι ἀόριστον τῷ Θεῷ. πῶς οὖν ἔχει περὶ αὐτό. ἢ δῆλον, ὡς τῷ Θεῷ οὐδὲν ἐνδεχόμενον, οὐδὲ γὰρ οὐδὲ συμβεβηκὸς ὅλως οὐδέν. πρὸς ἡμᾶς δὲ καὶ τὴν ἡμετέραν γνῶσιν τὸ ἐνδεχόμενον, ἔντε τοῖς ὑπὸ τῆς φύσεως γινομένοις, καὶ ὅσα ἐν πράξεσιν· ἐν οἷς τὸ τέλειόν τε θεωρεῖται καὶ ἀτελές, τό τε εὖ, καὶ τὸ ὡς ἑτέρως, ὧν τὸ μὲν ὡρισμένον, τὸ τέλειόν τε καὶ εὖ, τὸ δ' ἀόριστον, τὸ ἀτελὲς καὶ μὴ εὖ. οὗπερ οὐχ ὁ Θεὸς αἴτιος, καίτοι ὡρισμένως αὐτὸ εἰδὼς ὡς ἔσται τοιοῦτον· οὐχ ὅτι δὲ ὡρισμένως ὁ Θεὸς αὐτὸ οἶδε, καὶ αὐτὸ ὡρισμένον, ἢ γὰρ ἂν οὐκ ἀτελὲς ἦν. οὐ πρὸς αὐτὸ οὖν τὸ ὡρισμένον, ἀλλὰ πρὸς τὸν Θεὸν, ὡρισμένως εἰδότα τόδε τι ἔσεσθαι οὕτως. οὐχ ὅτι οὖν ὡρισμένως ὁ Θεὸς θάτερον τῶν ἐνδεχομένων οἶδε, καὶ τὸ ἐνδεχόμενον ἤδη, ἀναγκαῖόν τε καὶ ὡρισμένον ἐστί, καὶ αὐτὸς αἴτιος ὁποτερουοῦν· ἀλλ' ὅτι τὸ ἕτερον ἔσται ὡρισμένως οἶδεν, ὑπὲρ πᾶσαν γνῶσίν τε καὶ κατάληψιν. περὶ τούτων δὲ ἐν τοῖς εἰρημένοις ἐστίν. ἐκεῖνο δ' ἄξιον ἂν εἴη τέως ἐρέσθαι Πλήθωνα· πότερον γινώσκων φησὶ, μὴ ἂν ἄλλως συμβῆναι γνῶσιν, εἰ μὴ τῷ κοινωνίαν γενέσθαι τινὰ τῷ γινώσκοντι πρὸς τὸ γνωστὸν, ἢ οὐ γινώσκων, εἰ μὲν οὐ γινώσκων, καὶ τίς ἂν αὐτῷ δικαίως προσέχοι λοιπὸν, μὴ εἰδότι ἃ λέγοι; εἰ δὲ γινώσκων; πρῶτον μὲν οὐ μόνον ἀνθρώποις ἡ γνῶσις ἔσται συμβεβηκυῖα, ἀλλὰ καὶ τῷ Θεῷ· καὶ ποῦ τὸ τῷ Θεῷ μηδὲν εἶναι συμβεβηκὸς τηρη-

θήσε-

natura a nemine temere ignoretur? Si vero concedit, dicat quæ ſit Dei erga iſtud ratio: Num definita ac neceſſaria? Sed contingens eſt: Num minus definita? ſed abſurdum eſt dicere, quod aliquid ſit Deo minus definitum. Quare, quænam ſit, dicat, aut certe manifeſtum eſt, nihil eſſe apud Deum contingens aut vagum. Dicitur autem aliquid contingens reſpectu noſtri noſtræque cognitionis, tam in iis, quæ fiunt a natura, quam in rebus humanis, in quibus perfectio quædam ineſſe intelligitur & imperfectio, bonitas & vitium. Quorum alterum minus definitum, imperfectio ſcilicet & vitium, ejuſque cauſa Deus non eſt, licet definite tale futurum eſſe ſciat. Neque tamen ſequitur, propterea quod definite id ſciat Deus, id ipſum quoque definitum eſſe. Nam certe ita imperfectum non foret. Definitum igitur quodcunque eſt, non ad res imperfectas, ſed ad Deum pertinet, qui definite ſcit, eas tales futuras eſſe. Non ſequitur ergo, ſi Deus definite alterum eorum, quæ fieri poſſunt, præſciat, id ipſum quoque neceſſarium eſſe ac definitum, vel ipſum Deum utrumvis efficere; Sed quod alterum eventurum ſit, novit definite, modo eminentiori, quam qui ſciri a quoquam vel comprehendi poſſit. Verum de his jam diximus ſupra. Illud interea juvabit ex Plethone quærere, num ſciens dicat, aliter fieri cognitionem non poſſe, niſi, ut quædam ſit communio inter cognoſcentem & rem cognitam, an neſciens? ſi neſciens, quis illi porro advortat jure animum, cum ipſe quæ dicat neſciat? Si ſciens dicit, primum quidem non hominibus ſolum erit cognitio contingens, ſed & Diis. Quomodo ergo iſtud ſervabitur: nihil eſſe vagum aut contingens

N apud

θήσεται· ἢ ἐν τοῖς Πλήθωνος, οἷς τὸ ὅλον εἶναι συμβεβηκός ἐστιν, εἰ θέμις καὶ οὕτως εἰπεῖν. ἔπειτα τῷ γινώσκειν ἡμᾶς καὶ τὸν Θεὸν, ἢ τῷ γινώσκεσθαι ὑπὸ τοῦ Θεοῦ, τίς ἡ κοινωνία ἡμῖν τε κἀκείνῳ; ἡμεῖς ἐν τῷ εἶναι, ἐκεῖνος ὑπὲρ τὸ εἶναι· ἡμεῖς ἐν τῷ γινώσκειν, ἐκεῖνος ὑπὲρ τὸ γινώσκειν· ἡμεῖς ἐν πέρατι, ἐκεῖνος ἐν ἀπειρίᾳ· ἡμεῖς ἐν παντοίᾳ πλημμελείᾳ, ἐκεῖνος ἐν παντελεῖ τε καὶ ὑπερτελεῖ ἀπαθείᾳ· ἡμεῖς ἐν μυρίᾳ μεταβολῇ, ἐκεῖνος ἀεὶ ἔχων ὡσαύτως. φαίη ἂν Πλήθων, τῷ αἰτιατὰ εἶναι, καὶ διατίθεσθαι ὑπ᾽ ἐκείνου; ἀλλὰ καὶ ὑπὲρ τὸ διατιθέναι ἐκεῖνος, ἡμεῖς δὲ ἐν τῷ διατίθεσθαι. πῶς οὖν τὸ ἐν τῷ διατίθεσθαι καὶ πάσχειν, κοινωνήσει τῷ καὶ τοῦ διατιθέναι ὑπερανῳκισμένῳ; πῶς δὲ καὶ Πλήθων, ἐν τῷ γινώσκειν τοὺς αὐτοῦ Θεοὺς, αὐτοῖς κοινωνήσει, τοῖς μὴ οὖσιν, ὁ ὤν; ἀλλὰ λῆρος δὴ ταῦτα, καὶ ὑγιὲς οὐδὲ ἕν. ἐφ᾽ ἡμῶν μὲν γὰρ, καὶ οὓς εἰσάγει Πλήθων Θεοὺς, κἂν ἔχοι χώραν ἴσως τὰ τοιαῦτα τεχνολογεῖσθαι· ἐπὶ δὲ τοῦ Θεοῦ τῶν ὅλων ἀσεβείας ἀνάμεστος καὶ τοιαύτη τεχνολογία. χρῆται δὲ καὶ τεκμηρίῳ τοῦ τὴν εἱμαρμένην εἶναι, τῷ ἄφυκτά τε καὶ ἀναπόδραστα γεγενῆσθαι τισὶ πειρωμένοις διαφυγεῖν, ἃ τῶν ἐσομένων προμεμαθήκασιν, ὧδέ πως λέγων· „καὶ
„τισι καὶ προμεμαθηκόσι τῶν ἐσομένων, ἔστιν ἃ καὶ πειρω-
„μένοις διαφυγεῖν, οὐδὲν ἧττον ἄφυκτά τε αὐτοῖς ἐγέ-
„νετο καὶ ἀναπόδραστα τὰ πεπρωμένα· τοῖς δὲ καὶ αὐτῷ
„τούτῳ, τῷ προμεμαθηκέναι τε καὶ πειρᾶσθαι διαφυγεῖν,
„τοῖς πεπρωμένοις περιπεσεῖν συνέβη, οὕτω πως καὶ τοῦτο
εἱμαρ-

apud Deum? nisi forte in Diis Plethonicis, quibus profecto tota essentia, ut ita loquar, contingens est. Quæ præterea est communio inter nos & Deum, dum vel nos eundem cognoscimus, vel ab eodem cognoscimur? Nostrum est esse, illius aliquid essentia majus: nostrum est cognoscere, illius aliquid cognitione augustius: Nos sumus intra limites, ille infinitus: Nos in omnis generis imbecillitate versamur, ille in absoluta perfectaque vacuitate molestiæ: nos infinita laboramus vicissitudine, ille eodem semper est in loco. Dixerit forte Pletho, communionem illam in eo esse positam, ut res efficiantur ac disponantur à Deo. Sed Deus dispositione est augustior, nos vero disponimur. Quomodo igitur ei rei, quæ disponitur patiturque, aliquid sit commune cum eo, quo ne quidem dispositio satis digna est? Quomodo vero etiam Pletho, dum suos novit Deos, habebit cum iis communionem, is qui est, cum iis qui non sunt? Sed nugæ ista, nihilque sani. Enimvero de nobis quidem atque Plethonicis Diis, si forte habeant ista locum, licebit ita argutari, ast ad omnium Auctorem Deum si referantur, flagitii plenæ erunt argutiæ. Sed & argumentum pro fato ducit Pletho ex eo, quod fugere atque vitare nonnulli non potuerint, quæ de futuris prædidicerant, quamvis id dederint operam. „ Vidimus, inquit, nonnullos de futuris rebus edoctos, eorum quæ fato erant constituta, ne illa quidem effugere atque vitare potuisse, quæ ut evitarent omnibus contendebant viribus: Alios vel ea de causa in fatum incidisse suum, quod quæ eventura sibi erant, prædidicissent, atque declinare essent conati, ut & hoc illis factum fu-

„ εἱμαρμένον αὐτοῖς. οὐκοῦν ἂν εἶναι ἀνάλυσιν, οὐδὲ πα-
„ ρατροπήν τινα, τοῖς ἅπαξ ὑπὸ Διός τε ἐγνωσμένοις ἐξ
„ αἰῶνος, καὶ εἱμαρμένη δεδομένοις. Πλήθων μὲν οὖν
τοιούτῳ τεκμηρίῳ χρῆται, τοῦ τὴν εἱμαρμένην εἶναι· ἡμεῖς δὲ
αὖ τῷ τεκμηρίῳ τεκμαιρόμεθα Πλήθωνος, καὶ αὐτὸν τῆς
ἀσθενείας τῶν οἰκείων λόγων κατεγνωκέναι, καὶ διὰ τοῦτο
τῷ τεκμηριώδει τῶν ἀποδείξεων πειρᾶσθαι τὴν ἰδίαν δόξαν
κρατύνειν. ἐπεὶ εἰ τοὺς προειρημένους λόγους ἀναγκαίως
ὑπελάμβανεν ἔχειν, τί λοιπὸν ἔδει, μετὰ τὴν τοσαύτην ἀνάγ-
κην, τοῖς ἧττον ἀνάγκης ὁμολογουμένοις μετέχειν, αὖθις
πειρᾶσθαι ἐπιχειρεῖν, ἀνόνητον λοιπὸν καὶ περιττὸν ὑφι-
στάμενον πόνον· καὶ ταῦτα εἴπερ τις ἄλλος, χαίροντα τῇ
βραχυλογίᾳ, καὶ τῷ σφόδρα συνεσπειραμένῳ τῆς λέξεως;
εἰ γὰρ τὰ πρότερον ἐξ ἀνάγκης εἶχεν αὐτῷ, ἡ τῶν ἧττον ἀ-
ναγκαίων παραχθεῖσις περιττή. εἰ δ' αὕτη οὐ περιττὴ, οὐκ
ἀναγκαῖα ἐκεῖνα. καὶ δῆλός ἐστι λοιπὸν, τῶν οἰκείων αὐτὸς
λόγων κατεγνωκώς. ἀλλὰ τὸ μὲν Πλήθωνος τεκμήριον
καὶ ἡμᾶς τεκμαίρεσθαι παρεσκεύασεν· ἴδωμεν δὲ λοιπὸν,
ὡς καὶ αὐτὸ τὸ τεκμήριον ἔχει. οὐκοῦν οὐκ ἀνάγκη, εἰ
προεγνωσμένοις τισὶ, τινὲς οὐδὲν ἧττον περιπεπτώκασιν,
εἱμαρμένα πάντα εἶναι καὶ πεπρωμένα, καὶ οὐδὲν ὅ,τι τῶν
μελλόντων μὴ ὡρισμένον. ᾧ μὲν γάρ τις περιπίπτωκε,
τοῦτο λοιπὸν οὐκ ἀόριστον. μετὰ γὰρ τὴν ἔκβασιν, οὐδὲν τῶν πάν-
των ἀόριστον. οὐ μὴν εἰ τόδε μὴ ἀόριστον, καὶ πάντα τοιαῦ-
τα· ἀλλ' ἀνάπαλιν, εἰ πάντα ὡρισμένα, καὶ ᾧ τις προ-
εγνωσμένῳ περιπέπτωκεν, ὡρισμένον. τὸ μὲν γὰρ καθόλου,
τὸ δ' ἐν μέρει. καὶ παντὶ μὲν ὑπάρχοντος, καὶ τινὶ ἐξ ἀνάγ-
κης ὑπάρξει. οὐ μὴν εἴ τινι, καὶ παντί. εἰ οὖν πάντα τὰ
μέλ-

„ isse necesse sit. Nulla proinde liberatio est, aut „ declinatio eorum, quæ semel à Jove decreta sunt „ & fato tradita. Pletho quidem ejusmodi utitur argumento, ut fatum esse probet; Nos autem vel hoc ipso utemur, ut demonstremus, ipsum esse imbecillitatis rationum suarum convictum, atque propterea argumentando conari roborare sententiam. Nam si jam allatas rationes crederet apte concludere, quid opus erat, post tanta robora argumentorum, alia adducere præter controversiam infirmiora, atque ita inutilem & supervacuum subire laborem: præsertim cum presso, si quis alius, & contracto gaudeat genere orationis? Nam si priora ipsi recte concludere videbantur, supervacuum sane erat, minus adstringentia adjungere; si vero hæc non supervacua, illa sequetur fuisse minus necessaria: atque adeo perspicuum est, ipsum suas damnare rationes. Sed Plethonis quidem argumentum nos quoque ad argumentandum adduxit. Nunc videamus porro, quid ipsum hoc argumentum possit. Nimirum non sequitur, si nonnulli effugere non potuerint, quin in aliqua eorum quæ præsciebant, nihilominus inciderent, idcirco omnia esse decreta atque constituta fato, nihilque esse futurorum, quod definitum non sit. Nam in quod quis incidit, hoc amplius vagum non est: nihil enim vagum est post eventum. Neque tamen sequitur, si hoc definitum sit, omnia esse talia; Contra ea, si omnia definita sint, illa quoque esse, in quæ quis præsciens incidat. Alterum enim universale est, singulare alterum. Jam quod in omnia convenit, etiam in quædam necessario conveniet; at non, si in quædam, etiam in omnia. Si igitur omnia futura definita,

μέλλοντα ὡρισμένα, καὶ τὶ μέλλον ὡρισμένον ἐξ ἀνάγκης· εἰ δὲ τὶ ὡρισμένον, οὐκ ἀνάγκη καὶ πᾶν. ἔχει γὰρ παραπλησίως, ὡς εἰ λέγοι τις· εἰ πᾶς ἄνθρωπος λευκὸς, καὶ τὶς ἄνθρωπος λευκὸς ἐξ ἀνάγκης· εἰ δὲ τὶς, οὐκ ἀνάγκη καὶ πᾶς. ἐνδέχεται γὰρ καὶ μὴ λευκὸν εἶναι τινά· κἂν εἰ μόνον εἷς εὑρεθείη, οὐ πᾶς ἄνθρωπος ἔσται λευκός. ὥστε οὐκ ἀναγκαῖα ἡ τοιαύτη Πλήθωνος ἐπιχείρησις. τῶν τε γὰρ μὴ ἀναγκαίων ἐστὶ, καὶ οὐ τὸ μερικὸν ἐκ τοῦ καθόλου, ἀλλ' ἀνάπαλιν, ἐκ τοῦ ἐν μέρει τὸ καθόλου συνάγουσα. ὅπερ ἐπ' ἐκείνων μόνων εἴωθε γίνεσθαι, ἐφ' ὧν ὁμολογεῖται, εἰ τινὶ καὶ παντί· ἐπὶ δὲ τῶν ἄλλως ἐχόντων, οὐκ ἄπταιστός τε, καὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι δοκεῖ, καὶ ὃ ζητεῖται λαμβάνειν ὡς ὁμολογούμενον. εἰ γὰρ καὶ Πλήθωνι τάξιν ὁμολογουμένου ἔχει, τὸ τὰ μέλλοντα πάντα ὡρίσθαι, ἀλλ' οὐχὶ καὶ πᾶσιν οὕτω δοκεῖ. ὅθεν οὐκ ἐχρῆν ἀπὸ τῶν αὐτῷ δοκούντων τὰς ἀποδείξεις πειρᾶσθαι ποιεῖσθαι, μέλλων γε πείθειν ὅλως τινάς· ἀλλ' ἀπὸ τῶν κοινῇ πᾶσιν ὁμολογουμένων. εἰ δὲ μὴ ἐντεῦθεν εἶχεν, καὶ τὸ αὐτῷ παραιτεῖσθαι δοκοῦσαν. εἰ μὴ τῷ προαποδεδεῖχθαι ἤδη φαίη ὁμολογεῖσθαι, ὃ διὰ πολλῶν μὴ ἀποδεδεῖχθαι ἡμῖν ἐξελήλεκται. ὁ δ' ὥσπερεὶ πᾶσιν ὁμολογούμενον, εἰ ὥρισταί τινα τῶν μελλόντων, καὶ πάντα ἐξ ἀνάγκης ὡρισμένα εἶναι, οὕτω τὴν ἐπιχείρησιν προχειρίζεται· ὅπερ καὶ αὐτὸ τότε ποιεῖν ἀνεπίληπτον, ὅτε μὴ ἄλλως ἔχει τις περὶ τοῦ πράγματος διαλέξασθαι· ἐξὸν δὲ ἄλλως τε καὶ ἄμεινον, οὐ πάνυ τοι ἐπαινετὸς ὁ τοιοῦτος τῆς δείξεως τρόπος. οὐ γὰρ ἐξ ἀναγκαίων. ἐκ μὴ ἀναγκαίων δὲ τὸ ἀναγκαῖον πειρᾶσθαι δεικνύναι,

etiam aliquod futurum necessario definitum; Non autem, si aliquod, etiam omnia. Eadem enim hujus consecutionis ratio est, ac cum dico: si omnis homo albus, etiam quidem est necessario; sed si aliquis, non æque omnem esse sequitur. Fieri enim potest, ut sit etiam aliquis non albus, & si vel unus reperiatur, non erunt omnes albi. Ut proinde similis argumentatio Plethonis minus apte cohæreat. Est enim ex non necessariis, neque singulare ex universali, sed universale ex singulari colligit. Quod in iis tantum usu venire potest, de quibus controversia non est, omnibus convenire quod uni conveniat. Sed quorum alia est ratio, in iis non est expers erroris, & petere videtur principium, ac quod est in quæstione, sumere pro confesso. Quanquam enim Plethoni forte rei confessæ vicem obtinet, quod omnia futura definita sint, non tamen omnibus ita est persuasum. Quare non oportebat ex iis, quæ ipse opinatur, ducere argumenta, siquidem omnino vellet aliquos in suam sententiam adducere; sed ex iis quæ omnes uno ore profitentur: ac nisi inde mutuatus sit, suam quoque repudiare opinionem. Nisi forte propterea confessam jam dixerit, quod ante demonstrata sit, quod minus tamen factum esse, multis docuimus. Is autem, quasi omnibus id assentientibus, si quædam futura definita sint, omnia necessario esse definita, ita suum producit argumentum. Quæ ratio disputandi tum quoque abest a reprehensione, cum aliter disputari de re non potest. Sed si aliter possit, atque melius, non admodum est laude digna. Non enim est ex necessariis. At ex minus necessariis, id quod est necessarium velle ostendere insulsum est & sophisticum,

κινῦναι, φορτικόν τε καὶ ἄγαν σοφιςικὸν, ἵνα μηδὲν ἐπαχθέςερον εἴπω. οὐ γὰρ ἐκ μὴ ἀναγκαίων, ἀλλ' ἐξ ἀναγκαίων τὸ ἀναγκαῖον δείκνυσθαι δίκαιον, εἴγε μέλλοι ἀναγκαίως πιςεύεσθαι· εἰ οὖν μετὰ τοὺς τοσούτους λόγους, τῷ τοιούτῳ τῆς δείξεως εἴδει κέχρηται Πλήθων, ἢ μάτην ἔςαι πονῶν, ἢ τὰ περὶ ταύτης οὐκ ἀναγκαῖα· ὡς ἑκατέρωθεν τὸ ἀναγκαῖον διαπίπτειν αὐτῷ. οὔκουν εἰ μήτε τὰ πρότερα ἀναγκαῖα, καὶ κατ' αὐτὸν ὁπόσαγε τεκμήρασθαι Πλήθωνα, μήτε τὰ νῦν ἤδη ἐξεταζόμενα· οὐ πάντα ὡρισμένα, καὶ μάλα θαῤῥοῦντως ἂν εἴποιμεν, οὐδὲ εἱμαρμένα τε καὶ πεπρωμένα τὰ μέλλοντα, οὐδ' ἔςι τι λοιπὸν τὸ παράπαν ἡ εἱμαρμένη, ἕως ἂν μὴ ἄλλως ἔχῃ τις εἶναι δεικνύναι, ὅπερ ἀμήχανον. δῆλον δὲ ποιεῖ Πλήθων. εἰ γὰρ ἐνῆν βέλτιον, ἐκείνως ἂν μᾶλλον ἐπεχείρησεν, ἢ ὡς νῦν ἐςιν ἐπικεχειρηκώς. ἀλλ' οὐδὲ τὸ τεκμήριον τὸ ἀναγκαῖον εἶχε μεθ' ἑαυτοῦ. οὐ γὰρ πάντως ὅσοι τὰ προεγνωσμένα διαφυγεῖν πειρῶνται, πάντες αὐτοῖς περιπίπτουσιν, ἀλλὰ πολλοὶ διαφυγεῖν πειρασθέντες, ἀποπεφεύγασι. καὶ τούτων πλήρεις αἵ τε καθ' ἡμᾶς ἱςορίαι, πανταχοῦ ἀληθείας ἐχόμεναι, ὧν ὀλίγον Πλήθων πεποίηται λόγον· καὶ ὅσαι καθ' Ἕλληνάς τε καὶ Ῥωμαίους καὶ οὐσιναςοῦν ἄλλους, ἃς αὐτὸς περὶ πλείςου πεποίηται. καὶ ὅθεν οὐδὲν ἧττον, ἢ παρὰ τῆς αὐτοῦ διεςραμμένης καὶ πονηρᾶς γνώμης, καὶ τῆς ἀληθείας ἀποςάτιδος, τὸ τῆς θεοπλασίας καὶ διεδέξατο, καὶ ἐπρέσβευσε, καὶ ἄλλοις οὐ δεινοῦ τούτου πάθους γενέσθαι ὑφηγητὴς εἵλετο· ἅπαντα τοῖς βουλομένοις ἐξέσω σκοπεῖν. παρίεμεν γὰρ ἡμεῖς, τὸ νῦν εἶναι, περὶ αὐτῶν πολυπραγμονεῖν. τὰς καθ' ἡμᾶς δὲ, ὅτι περὶ αὐτῶν ὀλίγος ἢ οὐδεὶς Πλήθω-

cum, ne quid dicam asperius: Convenit enim ex necessariis necessaria ostendi, siquidem necessario credi debeant. Si igitur post tot rationes, ejusmodi genere utitur argumentationis Pletho, vel ludet operam, vel ante allata minus sunt necessaria: Ut adeo utroque modo necessaria concludendi ratione excidat. Quare si neque priora sunt necessaria, neque, quantum argumentari licet secundum Plethonem ipsum, quæ nunc disputantur: dicamus sane confidenter, non omnia esse definita, neque decreta esse futura ac constituta fato, neque esse omnino quicquam fatum, quamdiu nequeat quis aliud docere, quod fieri non potest. Declarat autem Pletho fieri non posse. Nam si melius id potuisset ostendi, non hoc potissimum modo rem fuisset aggressus. Sed neque in ipso argumento inerat veritas. Non enim omnino, qui effugere quæ præfinita sunt conantur, in ea incidunt; sed & multi qui id dederunt operam, ex iis elapsi sunt. Cujus rei exemplis refertæ sunt nostri ævi historiæ, veritatem omni tuentes modo, quarum exiguam Pletho rationem habet: Referta etiam, quæ de suis temporibus composuere Græci Romanique, aut alii quicunque, monumenta, quæ multi facit noster. Unde igitur potuerit nihilosecius, nisi ex perverso suo corruptoque ingenio, desertore illo veritatis, commenta de Diis suscipere, profiteri, atque isthæc flagitia aliis suadenda sibi sumere: hæc quidem omnia cui volupe fuerit examinet. Nos in præsenti prætermittimus ista curiosius scrutari. Præterimus etiam silentio res gestas nostri temporis, quoniam, ut dixi, earum exigua vel nulla à Plethone habetur ratio. Illud certe perspicuum est omnibus, quod

O ubi-

νι λόγος, ὡς εἴρηται. ἀλλ' ἐκεῖνο φανερὸν ἅπασιν, ὡς ἑκάστοτε πολλοὶ πολλοῖς ἁλίσκονται πταίσμασι, τὸ μὲν πλεῖστον ἀληθέσιν, ἔστι δ' ὅτε καὶ πεπλασμένοις, καὶ οὐδεὶς σχεδὸν χρόνος, ὃς ἀμοιρεῖ τῶν τοιούτων. καί τις αὐτοῖς ὁρίζεται ζημία παρὰ τῶν εἰς τοῦτο τεταγμένων ἑκασταχοῦ, κατά τε τὴν τῶν ἁμαρτανομένων ποιότητα, καὶ τῶν εἰς τοῦτο τεταγμένων παρ' ἑκάστοις τὴν γνώμην· (καίτοι εἰ καθ' εἱμαρμένην ταῦτα ὡρίζετο, αὐτοῖς ἂν εἵπετο πανταχοῦ τὰ αὐτά.) καὶ τοῖς πεισομένοις ἃ πείσονται προγινώσκεται· καί τισιν αὐτῶν καὶ πειρωμένοις διαφυγεῖν, οἷόν τ' ἐγένετο τῶν ζημιούντων ἔξω γενέσθαι, καίτοι ἀπαραίτητος αὐτοῖς εἴρητο ἡ ζημία, καὶ οἱ ἐπὶ τούτοις τεταγμένοι εὐπρεπεῖς, καὶ ὁ ἐξαιρησόμενος οὐδείς, οἱ δὲ τολμήσαντες, ἑαυτοὺς ἐκ μέσων ἀνήρπασαν τῶν δεινῶν, καὶ τοῦ κινδύνου περιεγένοντο. καὶ Πλάθων δὲ ὁ Πλήθωνος καθηγητής οὐ γὰρ ἡμέτερος, μαθηταὶ γὰρ ἡμεῖς ἁλιέων τε καὶ σκυτοτόμων ἐσμέν, καὶ πλέον ἐμφιλοτιμούμεθα τούτοις, οὐδ' ὅσον ἐξεῖναι παραβαλεῖν, ἢ Πλάτωνι Πλήθων, καὶ εἴ τις ἕτερος κατὰ Πλάτωνα. οὗτος τοίνυν, ὁρισθὲν ὑπὸ τῶν ἕνδεκα Σωκράτην ἀποθανεῖν, εἴπερ ἤθελεν εἰσάγει, οἷόν τε ἂν γενέσθαι, αὐτὸν ἑαυτὸν τοῦ κινδύνου ἐκκλέψαι· ἢ φυγῇ ἐπιχειρήσαντα, ἢ χρήματα παρασχόμενον, ἢ ἄλλον γέ τινα τρόπον ἑαυτὸν ὑπεξαγαγόντα. οὐκ ἂν οὔτε αὐτῷ τοῦτο πάντως ἐσόμενον, οὔτε τοῖς ἄλλοις συμβὰν ἄν ποτε ὃ ἐπεχείρησαν, εἰ ὡρισμένον ἦν αὐτοῖς θάτερον ἐξ ἀνάγκης. καὶ τὸν παιδοτρίβην δὲ Ἡρόδικον ὁ Πλάτωνος ἱστόρησε λόγος, ἐπιθανατίου νοσήματος ὄντος αὐτῷ, διὰ γυμναστικῆς ἐμπειρίας εἰς παντελῆ μὲν ὑγίειαν ἐπαναγαγεῖν τὸ σῶμα οὐ δυνηθῆναι· παρόντα δὲ τὸν θάνατον ἀεί, δι' ἐπινοίας δή τινος ὑπερτίθεσθαι, μὴ ζωῆς ἀσφάλειαν, ἀλλὰ θανάτου παράτα-

ubique multi multorum flagitiorum peragantur rei, verorum quidem utplurimum, sed aliquando etiam falso afflictorum. Neque est temere ulla ætas, quæ vacet ejusmodi exemplis. Ubique vero irrogantur iis pœnæ quædam, & pro ratione delinquentium, & pro judicio eorum qui ad id ubique constituti sunt: (Quanquam si fato hæc definita essent, eadem flagitia eædem semper mansuræ essent pœnæ.) Quin & præfinitur puniendis genus supplicii. Et nonnullis tamen eorum, ubi id moliti sunt, licuit judicum manus evadere, quanquam præsens ipsis dicta fuerit pœna, ipsique judices fuerint viri graves, nemoque adfuerit, qui ipsos vindicaret in libertatem. At qui ausi sunt, e medio se eripuerunt discrimine, periculumque superarunt. Ipse Plato, quo Pletho utitur duce: Nec enim noster est. Sumus enim discipuli piscatorum & coriariorum, atque his magis gloriamur, quam quidem, si liceat comparationem instituere, vel Platone Pletho, vel si quis alius Platonem sequitur. Is igitur Socratem, ab undecemviris capitalibus mortis damnatum, dicit potuisse se periculo surripere, aut fugam moliendo, aut offerendo pecuniam, aut alia denique ratione se illis subtrahendo. Cum tamen hoc neque Socrati fuisset integrum, neque reliquis successisset, quod ausi erant, si alterum illis ex necessitate fuisset definitum. Herodicum quoque Pædotribam Plato memoriæ prodidit, cum morbo capitali conflictaretur, arte quidem gymnastica ad perfectam sanitatem reducere corpus non potuisse; imminentem tamen perpetuo mortem artificio quodam protelasse, comparata sibi, non vitæ securitate, mortis certe procrastinatione. Quare per-

σιν παρασκευαζόμενον ἑαυτῷ. ὅθεν καὶ εἰς γῆρας διαρκέσαι, χρόνον ἐπὶ μακρὸν ὑπερτιθεμένῳ θανάτῳ, τὸ μὴ ἀποθανεῖν σοφισάμενον. οὐδὲ κατὰ τοῦτον οὖν τὸν λόγον, ἀρραγὴς ἡ εἱμαρμένη καταλαμβάνεται, εἴπερ εὑρίσκεταί τις τέχνη τὴν ἀνάγκην ἐκλύουσα· εἰ δὲ φαίη, ὅπερ ἑκάστοις ἐγένετο, τοῦτο σφίσιν ὡρισμένον εἶναι καὶ πεπρωμένον· πρῶτον μὲν φιλονεικίας ἀκαίρου τὸν λόγον ἐροῦμεν ἀνάπλεων. οὐ γὰρ ὅ,τι ὡρισμένον ἦν, καὶ τοῦτο σφίσι συμβῆναι· ἀλλὰ μᾶλλον ἐγνῶσθαί τε καὶ ὡρίσθαι, οὐκ αὐτοῖς ἀλλὰ τῷ πάντα πρὶν γενέσθαι εἰδότι, ὅπερ αὐτοὶ ποιήσειν τε καὶ πείσεσθαι ἔμελλον· ἔπειτα δὲ καὶ ὡς ἐκείνῳ τὰ τοιαῦτα εἰς κατασκευὴν τοῦ ψεύδους εἰσάγειν, καὶ ἡμῖν ἐξεῖναι, καὶ πολλῷ ἂν δικαιότερον, τοῖς ἀντικειμένοις εἰς ἀποφυγὴν τοῦ ψεύδους χρῆσθαι καὶ ἀποποίησιν. καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ εὐλογώτερα, καὶ πλείοσι καὶ σοφωτέροις, ἢ Πλήθων, ἀξιοῦμεν ἀρέσκοντα. οἷς πᾶσιν ὁμολογεῖται, οἷόν τε ἂν εἶναι, καὶ ἀνάλυσιν, καὶ παρατροπὴν τῶν προεγνωσμένων μεμηχανῆσθαι, ἀλλ' οὐχ ἅπαξ ὑπὸ Διός τε ἐγνῶσθαι ἐξ αἰῶνος αὐτὰ, καὶ εἱμαρμένῃ δεδόσθαι. οὐ γὰρ εἶναι οὔτε Δία Θεὸν, οὐθ' εἱμαρμένην, ἵνθ' ὑπ' αὐτῶν τὰ ὁριζόμενα ὁρίζεσθαί πως τῶν γε μὴ ὄντων. ἐῶ γὰρ λέγειν ὅτι καὶ τῶν πρεσβευόντων Δία οὐκ ὀλίγοι, οὐδ' οἱ τυχόντες, ἀλλ' ὧν καὶ παρὰ Πλήθωνι λόγος ἄλλως πολὺς, εἱμαρμένην εἶναι οὐ βούλονται· τὸ δὲ περιπεσεῖν ἐνίους τῶν προεγνωσμένων ἐνίοις, καὶ τούτων αὖθις οὐκ ὀλίγους τοῦτο παθεῖν, αὐτῷ τούτῳ τῷ προμεμαθηκέναι καὶ πειρᾶσθαι διαφυγεῖν· αἴτιον, τὸ μὴ ὡς ἔδει τὴν ἀποφυγὴν μεμηχανῆσθαι, μηδ' ὡς ἂν αὐτοῖς ἐλυ-

σι-

vixisse etiam ad senectutem usque, atque dum longum tempus morti protraheret, ingeniose effecisse, ut interea non moreretur. Ergo ex hac etiam narratione intelligitur, non esse infragilem fati vim; siquidem reperiri possit ars, quæ necessitatem debilitet. Si vero dixerit, quod singulis eveniat, id esse ipsis definitum atque constitutum: Primo quidem dicemus, esse hanc intempestivæ contentionis plenam orationem. Non enim ita connectit: id quod definitum erat, accidisse ipsis; sed potius constitutum esse ac definitum, non ab ipsis, sed ab eo qui omnia præsciat, quicquid ipsi olim facere debeant aut pati. Deinde, sicut illi talia licuerit ad confirmandum mendacium inducere, ita nobis quoque licere, ac majori quidem cum jure, contrariis uti, ad summovendum mendacium. Idque vel eo magis, quo melius congruant cum ratione, quoque pluribus ac sapientioribus Plethone, probari putemus: Qui uno ore confitentur, posse iis, quæ ante constituta sint, quandam liberationem ac depulsionem inveniri, nequaquam vero esse omnia ab æternitate semel à Jove decreta, fatoque tradita: Nec enim vel esse Jovem Deum, neque fatum esse, neque ab ipsis, quæ definiantur, definiri, quandoquidem non sint. Taceo multos eorum, qui Jovem prædicant, & hos quidem non paucos, neque vulgares, sed magni ceteroquin æstimatos à Plethone, qui tamen fatum esse sibi non persuadent. Quod vero nonnulli in quædam ipsis constituta inciderint, quodque hoc ipsum acciderit non paucis propterea, quod prædidicerint, atque effugere conati sint: Ejus rei ratio est, quod non ut par erat, neque ut ipsis expediebat, depulsionem moliti sint. Expe-

σιτέλησε πάντως. ἐλυσιτέλησε δ' ἂν, εἰ μὴ τὸ πᾶν ἐπέτρεπον ἑαυτοῖς, ἀλλ' ἐπεχείρουν μὲν αὐτοὶ τὸ εἰς αὐτοὺς ἧκον, τῷ δὲ πάντων ἀγαθῶν αἰτίῳ, τὴν σφῶν αὐτῶν σωτηρίαν ἐπέτρεπον, καὶ σὺν ἐκείνῳ τε καὶ ἐξ ἐκείνου ταύτην ἐζήτουν· ἣν καὶ παρέσχεν ἂν πάντως, μᾶλλον αὐτοῖς τὸ διαφυγεῖν ἃ προμεμαθήκασι λυσιτελὲς ἔσεσθαι· καὶ τούτου χάριν αἱ θεόθεν προγνώσεις τε καὶ προαγορεύσεις τῶν ἐσομένων, οὐκ ἐπιεικῶν μόνον, ἀλλὰ καὶ λυπηρῶν, ἵνα τοῖς μὲν χρηστοῖς, τῷ προμεμαθηκέναι χαίροντες ἐπαγάλλοιντό τε καὶ ἐπεκτείνοιντο, ἀποποιοῖντο δὲ τὰ λυπηρὰ, ἐπανορθούμενοί τε τὰ ἐπταισμένα, καὶ πρὸς Θεὸν ἐπιστρέφοντες, τὸν μόνον ἀκύμαντον τῆς σωτηρίας λιμένα. τῶν δ' ἐκ μαντείας προγνώσεων, ὡς μικρῷ πρόσθεν ἐλέγετο, κακία τὸ αἰτιώτατον, καὶ διὰ τοῦτο, ἄφυκτα μὲν οὔ. ἐπαμφοτερίζουσα γὰρ ὡς τὰ πολλὰ, καὶ οὐκ ἄνευ προσδιορισμῶν, ἀποφυγὴν ἐπὶ θάτερα μηχανωμένων ἡ πρόρρησις ἵν' ὅ ἀποβαίη τοῦτο δοκῇ προμηνύεσθαι. δύσφυκτα δὲ τοῖς προγινώσκουσιν οὕτω καὶ ἐγνωσμένα τε καὶ ἐσόμενα· ὅτι δὴ καὶ ἐκ κακίας ἡ γνῶσις, καὶ ἡ ἀποφυγὴ, μετὰ τοῦ μὴ τὴν κακίαν ἀποθέσθαι σπουδάζεσθαι. εἰ δ' ἐκ κακίας τὴν γνῶσιν ἐσχηκότες, τὴν κακίαν ἀποθέμενοι, τὴν ἀποφυγὴν τῶν ἐγνωσμένων μετ' ἀρετῆς ἐπεζήτουν, κἂν ὑπῆρξε σφίσιν ἀποφυγεῖν τὰ προεγγνωσμένα δεινά. οὕτως οὐδ' ἐκ ταυτησὶ τῆς εἰρημένης ἐπιχειρήσεως, τὸ πάντων τῶν μελλόντων ὡρισμένον, οὐδ' ἡ εἱμαρμένη ἐξ ἀνάγκης δείκνυται εἶναι· εἰ μὴ καὶ τοὐναντίον δέδεικται πᾶν, μήτε πάντα εἶναι ὡρισμένα τὰ μέλλοντα, μήτε εἱμαρμένην ἐξ ἀνάγκης εἶναι λοιπόν. εἰ γὰρ

τῷ

duisset autem, ut non omnem rem sibi ipsis permitterent, sed ipsi quidem experirentur, quantum in se erat, verum auctori omnium bonorum salutem crederent suam, atque cum illo & ex illo eandem quærerent. Quam quidem etiam largitus esset, si e re illorum putasset fore, ut ex iis quæ prædidicerant, evaderent: Hac enim de causa præsciuntur divinitus, aut prædicuntur res futuræ, non secundæ solum, sed & adversæ, ut iis quidem, dum prædidicere, gaudio exultarent atque erigerentur, hæc vero amoliri possent, corrigentes delicta, atque ad Deum conversi, qui solus est salutis portus tranquillus. Ea vero, quæ divinatione præsciuntur, ut modo diximus, omnino malitia docet, ac propterea non sunt quidem inevitabilia, siquidem prædictio inclinat plerumque in utramque partem, atque adjunctas habet conditiones, ut utrinque inveniant refugium, & quicquid ceciderit, ante significatum ab ipsis videatur; Difficulter tamen evitari possunt à præsciis, quæ ita destinata sunt & futura: quoniam & notitiam eorum sibi compararunt malitia, & ita conantur effugere, ut de malitia istac deponenda nihil sint solliciti. Si vero, acquisita licet per malitiam notitia, deponere illam voluerint, atque ita depulsionem eorum, quæ præfinita erant cum virtute moliri, forte liceret iis ex destinatis periculis evadere. Ita ergo ne ex hoc quidem argumento, definita esse futura omnia, fatumque esse, necessario evincitur: ni etiam omne aliud fuit ostensum, scilicet neque futura omnia esse definita, neque esse omnino necessario fatum. Nam si fatum esse ostenditur ex eo, quod futura omnia definita sint; Vicissim

τῷ ὡρισμένῳ τῶν μελλόντων ἡ εἱμαρμένη δείκνυται εἶναι, τῷ μὴ ὡρισμένῳ, εἰ καὶ μὴ πάντων ἐν᾽ ὅλως καὶ συγχωρήσαιμι, ἑνὸς γοῦν καὶ ὁτουοῦν, μὴ ἂν εἶναι δεικνύοιτο. καὶ τοῦτο ἱκανῶς κατὰ τὴν ἡμετέραν ὡς οἶμαι δέδεικαι δύναμιν.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ.



MAT-

cissim ex eo, quod non sint definita, non dicam omnia, ut omnino hoc concedam, sed quod unum saltem quodcunque non sit, fatum non esse evincetur. Idque pro viribus satis ut puto est a nobis ostensum.

FINIS ORATIONIS PRIMAE.



ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΚΑΜΑΡΙΩΤΟΥ ΠΡΟΣ ΠΛΗΘΩΝΑ,

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ,

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Μέχρι μὲν δὴ τούτου Πλήθων, τὴν οἰκείαν εἴτε χρὴ σοφίαν λέγειν, εἴτε ἀπόνοιαν, εἴτε ἀσέβειαν, εἴθ' ὅ,τι τῳ φίλον ἄλλο καλεῖν, ἐπεδείκνυτο· εἱμαρμένην ἐπιχειρῶν δεικνύειν εἶναι, καὶ τὰ μέλλοντα πάντα ἐξ αἰῶνος ὡρίσθαι ταύτῃ τε καὶ Διΐ, καὶ οὐδὲν ὅ, τι μὴ ὡρισμένον αὐτῶν εἶναι· καὶ ἡμεῖς πρὸς ταῦτα, κατὰ τὴν ἡμετέραν ἀρκούντως, ὡς οἶμαι, δύναμιν, ἀπηντήσαμεν· τὸ ἀσθενὲς τοῦ Πλήθωνος λόγου δύναμιν ἡμετέραν πεποιημένοι, ἀλλ' οὐχὶ θράσει ἐπαρθέντες ἀλογίστῳ. οὐ γὰρ ἀγνοοῦμεν ἡμᾶς αὐτοὺς, ὡς παρασκευῆς ἔχομεν τὰ ἐς λόγους. ὅθεν εἰ μὴ μεγάλην ἑωρῶμεν ἐνοῦσαν ἀσθένειαν τοῖς περὶ εἱμαρμένης Πλήθωνος λόγοις, οὐδ' ἂν οὐδὲ διᾶραι στόμα τὴν ἀρχὴν ἐτολμήσαμεν· σιωπὴν ἀσφαλῆ ἀντὶ μὴ ἀκινδύνου λόγου αἱρούμενοι, καὶ ἄλλοις τὴν κατ' αὐτῶν παραχωροῦντες ἐγχείρησιν, τοῖς δυναμένοις τὴν αὐτῶν καταπαλαῖσαι νομιζομένην ἂν ἰσχὺν, ἀξίως λόγου τε καὶ σοφίας. ὅπερ καὶ οὐδὲν ἧττον ἴσως οὐκ ὀλίγοι, καὶ μεθ' ἡμᾶς, ἐκ πολλοῦ τοῦ περιόντος ποιήσουσιν, ὡς εἰκὸς, ταῖς μᾶλλον πρεπούσαις ποιναῖς καθυποβάλλοντες τὴν ἀσέβειαν. εἰ μὴ τοῦ πάνυ ἀστενοῦς τῶν Πληθωνικῶν καταφρονήσαιεν σοφισμάτων, ὡς πρὸς μηδένα τῶν λόγων μὴ δεῖν αὐτοῖς μηδενὸς λόγου· ἀρκούμενοι, τῷ αὐτοὺς ἐφ' ἑαυτοὺς, καὶ μηδενὸς ἀπολογουμένου, διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἀσθένειαν, ἐξελέγχεσθαι, τοῦ κατ' αὐ-

MATTHÆI CAMARIOTAE

ORATIO II.

IN PLETHONEM, DE FATO.

Hactenus quidem suam Pletho sapientiam dicam an amentiam, an improbitatem, aut si quo alio nomine vocanda est, declaravit: ostendere conatus, & esse fatum, & futura omnia ex æternitate ab hoc & Jove definita esse, nihilque esse istorum, quod non sit ante constitutum. Nos autem hisce pro viribus ut puto satis obstitimus, ex imbecillitate rationum Plethonis nostrum capientes robur, neutiquam vero fastu quodam perabsurdo elati. Nec enim ignoramus nos, quantulum simus instructi a studiis literarum. Unde ni magnam inesse intellexissemus infirmitatem in Plethonis de fato argumentis, ne hiscere quidem primo essemus ausi, & certum silentium dubiæ orationi prætulissemus: relinquendo aliis eorum refutationem, qui possint eam, quæ in illis videatur inesse vim, infringere convenienter rationi ac sapientiæ. Quod forte nihilosecius non pauci, etiam post nos, abundanter, ut puto, facturi sunt, ac magis dignas ab ista improbitate sumturi pœnas. Nisi cavillationum Plethonicarum summam ita aspernentur debilitatem, ut ne ullum quidem argumentorum, ulla dignum putent responsione: satis habentes, ipsa sibi relicta, nemine defendente, sua satis imbecillitate refutari, cum eo-

αὐτοὺς ψευδοῦς τε ἅμα καὶ ἀσεβοῦς οὕτως ἔχοντος ἀπαρακαλύπτως, ὡς μηδενὶ νοῦν ἔχοντι μὴ εἶναι κατάδηλον. νῦν δὲ τό τε σφόδρα ἀσθενὲς τοῦ Πλήθωνος τουτουὶ λόγου, καὶ παντὶ καὶ ὁπωσοῦν ἔχοντι περὶ λόγους εὐκαταγώνιστον, καὶ ἅμα ὁ ὑπὲρ εὐσεβείας ζῆλος, καὶ αὐτῆς ἀληθείας, καὶ ἡμᾶς ἐπῆρεν τούτοις ἐγκεχειρηκέναι, οἷς θέμις ἐγχειρεῖν τοὺς περὶ λόγους ἄμεινον ἔχοντας ἤπερ ἡμεῖς. εἰ δέ τι καὶ ἠνύσαμεν ὅλως, θεῷ χάρις, τῷ καὶ τὰ ἀσθενῆ ἐνισχύοντι ἐπὶ τὴν τοῦ ψεύδους καθαίρεσιν, ἵν' ἐκ περιουσίας κρατύνοιτο ἡ ἀλήθεια· καὶ ἡμῖν ἐν ἀνοίξει στόματος διδόντι λόγον, ᾧ ἂν ἔχοιμεν πρὸς τοὺς τῇ ἀληθείᾳ μαχομένους ἀντικαθίστασθαι. εἰ καὶ μέλλοιέν τινες δυσχεραίνειν, τὸν ἧττον ἔχοντα πρὸς λόγους ὁρῶντες, πρὸς τὸν τὰ φιλοσοφίας ἄκρα πατεῖν νομιζόμενον, ἑαυτὸν ἀντικαθιστῶντα· οἷς καὶ μάλα εὐλόγως ἂν εἴποιμεν, μὴ δικαίως ἂν ἡμῖν δυσχεραίνειν, κεκινημένοις, ὅθεν ἤδη πᾶσι γέγονε δῆλον εὐγνωμονοῦσιν· ἀλλὰ τῷ τοιαῦτα ἑλομένῳ ἀσεβεῖν τε καὶ πραγματεύεσθαι, ἅπερ παντὶ καὶ ὁτῳοῦν ἔμελλεν εὐκαταγώνιστα εἶναι. εἰ δέ τινες οὐδὲν ἧττον τῷ δυσχεραίνειν ἐπὶ τούτοις ἐπιμένειν αἱροῖντο, βούλοιντ' ἂν οἱ τοιοῦτοι ταῦτα κύρια καθάπαξ εἶναι, ἃ Πλήθων καὶ ἐπρέσβευσε, καὶ ἐπραγματεύσατο. καὶ τίς ἂν αὐτῶν ποιοῖτο λόγον λοιπὸν, ἀσεβοῦντι συνασεβεῖν αἱρουμένων, καὶ συνανοηταίνειν ἀνοηταίνοντι; οἶμαι μὲν οὖν ἱκανῶς ἡμᾶς κατὰ τὴν ἡμετέραν ἀπηντηκέναι δύναμιν, τοῖς ὑπὸ Πλήθωνος περὶ εἱμαρμένης ἀσεβέστατα ἠξιωμένοις καὶ γεγραμμένοις, καὶ μὴ ἀνδεῖν ἡμῖν μηκέτι μηδενὸς περὶ τούτων λόγου λοιπόν. ἐπειδὴ δὲ Πλήθων, ὡς κυρίων ὄντων ἃ γέγραφε, πρὸς ταῦτα καὶ ἀντιτίθησι,

rum adeo aperta sit fallacia improbitasque, ut nemini non mentis compoti debeat esse perspicua. Jam autem insignis hæcce imbecillitas Plethonicæ orationis, quæ facile possit à quovis, utut leviter in literis versato, refutari, accedente præsertim acerrimo studio pro pietate ipsaque veritate, nobis etiam fecit animum, ut ea aggrederemur, quæ alios, magis quam nos doctrinis eruditos, aggredi fas erat. Enimvero, si quid etiam sumus consecuti, Deo sit gratia, qui infirmis addidit robur ad destruendum mendacium, ut veritas abundanter confirmaretur argumentis: quique loquentibus nobis subministravit verba, quibus veritatis hostibus possemus resistere. Quanquam forte multi ægre laturi sint, ubi me viderint minus instructum a literis, ei obsistere, qui arcem sibi videatur tenere philosophiæ. Quibus quidem merito responderemus, ipsos nobis succensere præter rationem, qui iis, quæ candidi omnes perspexere rationibus, simus commoti: Illi vero succensendum potius esse, qui ejusmodi flagitia committere ac comminisci in animum induxerit, quæ ab unoquoque facile possint confutari. Quodsi nihilominus aliqui insistant istud moleste ferre, ii hæc rata omnino esse volent, quæ Pletho & professus est & excogitavit. Quis adeo eorum habeat porro rationem, qui decreverint cum homine profano profani esse, atque cum insipiente desipere? Puto itaque satis pro viribus esse a nobis diluta, quæ de fato summa cum impietate sensit scripsitque Pletho, neque opus esse, ut verbum de his addamus amplius. Quandoquidem vero Pletho, veluti iis quæ scripsit sua veritas constaret, quædam sibi opponit, conaturque ea quæ sunt opposita, dissol-

καὶ τὰ ἀντιτιθέμενα ἐπιλύεται· καὶ ἡμεῖς περὶ αὐτῶν αὖθις πραγματευσόμεθα, μὴ δόξαιμεν τὴν τῶν λεγομένων ὑπερεκπλαγέντες ἰσχὺν, καὶ μὴ δυνάμενοι ἀντοφθαλμῆσαι αὐτοῖς, ἑκόντες ἀνεξέλεγκτα ταῦτα παραλιπεῖν. καίτοι εἰ ὡς κυρίων τῶν προεπικεχειρημένων νομιζομένων, χώραν ἔσχηκεν ἡ ἀντίθεσις, εἰ οὐ κύρια ἐξελήλεγκται, οὐδ' ὑγιὲς οὐδὲν ἔχοντα τοπαράπαν, τῷ ἀντιθέναι τίς χώρα λοιπόν; τούτου δ' ὄντος περιττὴ, καὶ ἡ ἐπίλυσις τῶν ἀντιτιθεμένων περίεργος, καὶ οὐκ. ἂν ἡμῖν οὐδενὸς ἔδει πόνου πρὸς ταῦτα λοιπόν. ἀρκεῖν γὰρ ἤδη, τὸ ἄκυρα ἀποδεδεῖχθαι καὶ ψευδῆ, πάνθ' ὅσα φθάσας γέγραφε περὶ εἱμαρμένης. νῦν δὲ δὴ καὶ δευτέροις ἐγχειροῦμεν λόγοις, ἐν οἷς χάριτι τῇ Πλήθωνος χαριζόμενοι, ἵνα μὴ ἔχοιεν ἐγκαλεῖν ἡμῖν, τὸ πρὸς ταῦτα δὴ τὰ δεύτερα, μὴ ἔχειν ἀντιβλέψαι ἀντοπαράπαν. ὡς κυρίων οὖν τῶν εἰρημένων ὄντων καὶ ἀντιτίθησι, καὶ ἡ ἀντίθεσις, ὡς αὐτῷ ἔδοξεν ἂν εὐεπιχείρητος εἰς ἐπίλυσιν εἶναι· εἰ καὶ μὴ ἱκανῶς οὐδ' αὐτὴν, μηδὲ μετὰ τοῦ ἀληθεύειν ἐπιλύεται, ὡς δῆλον ἔσαι προϊοῦσιν ἡμῖν. οὐ γὰρ οὐχ οἷόν τε, οὐδὲ βουλομένῳ λοιπὸν, ἀληθεύειν, ἐκεῖνῳ γε καθάπαξ ἠξιωκότι, ἅπερ ἀληθείας ἀπηλλοτρίωται παντελῶς. ἀντιτίθησι τοίνυν διχῇ, ἔκ τε τῆς κατ' ἀνθρώπους ἐλευθερίας, καὶ ἐκ τῆς γινομένης ἐκ Θεοῦ δίκης· οὐδ' ἐν τῷ ἀντιτιθέναι τοῦ ἀσεβεῖν ἀφιστάμενος, ἀντὶ Θεοῦ Θεοὺς παρεισάγων. καίτοι οὕτως ἀντιτιθέναι ὤφειλεν, τῶν ἀντιτιθέντων ὑποδυόμενος τὸ πρόσωπον, ὡς ἀντέθηκαν ἂν, οἱ μετὰ τοῦ ἀληθεύειν ἀντιτιθέμενοι. νῦν δὲ καὶ περὶ αὐτὸ τοῦτο τὰ ἔσχατα φαίνεται κακουργῶν, ἄλλως τε, καὶ ὅτι οὐκ ἂν οἷόν τε ἦν οὐδὲ λόγων ὁπωσοῦν πρὸς τὴν ἀντίθεσιν εὐπορεῖν, εἰ ὡς ἔδει ἀντιτεθείκει. τῇ γὰρ ἀληθεῖ ἀντιτιθέσει, τίς ἂν ἀν-

vere, nobis etiam est de iisdem rursus dispiciendum: ne propterea hæc sponte videamur absque refutatione prætermittere, quod vi dictorum simus vehementer perculsi, iisque obluctari non possimus. Quanquam si, quamdiu rata putantur quæ ante adstructa sunt, locus erat objectioni, ubi demonstrata sunt, rata non esse, & sani nihil continere, quis amplius locus sit objectioni non video. Quæ cum supervacua sit, neque nos opus erat in his amplius operam consumere: sufficit enim jam esse ostensum, quod invalida sint & fallacia, quæ primo de fato scripserat. Nunc tamen etiam secundam instituimus orationem, in qua Plethonis aliquid gratiæ damus, ne quis accusare nos possit, acsi nihil habuissemus, quo posterioribus hisce obluctaremur. Injicit itaque dubia, quasi omnino illa quæ dixerat starent, & ita injicit, quasi visa ipsi essent facile posse dissolvi. Quanquam illa neque satis neque ex vero dissolvit, uti postea declarabimus. Fieri enim non potest, ut in posterum, ne si velit quidem, vera dicat, ubi semel talia sibi persuasit, quæ a veritate sunt prorsus aliena. Opponit igitur sibi potissimum duo, liberam scilicet hominum voluntatem, & pœnas quas infligat Deus: ne nunc quidem desistens ab impietate, dum Deos pro Deo inducit. Quanquam ita debuisset sibi quid objicere, ut adversariorum personam imitaretur, quemadmodum ii certe fecissent, qui ingenue candideque quid opponere niterentur. Jam vero manifestum est, pessime eundem hac in re esse versatum, cum alia de causa, tum quoniam, si ut par erat dubia proposuisset, nihil habuisset omnino quod ad ea responderet. Veræ enim objectioni, quænam possit op-

poni

ἀντιτιθείη λόγος εἰς ἐπίλυσιν, λόγου ἄξιος καὶ σπουδῆς· οὐκ ἔχων οὖν εὐπορεῖν λόγων, εἰ ὡς ἔδει ἀντιτεθείκει, ὡς αὐτῷ ἔδοξεν εὔπορον εἶναι εἰς ἐπιχείρησιν, οὕτω καὶ ἀντιτίθησι. φησὶν οὖν· „ἀλλ᾽ εἰ πάντα ὥρισαι, φαίη ἄν τις, καὶ „οὐδὲν ὅ, τι μὴ καὶ ἀνάγκης μετείληφε τῶν ὄντων τε καὶ „γιγνομένων, ἐκ τε τῶν ἀνθρώπων οἴχοιτ᾽ ἂν ἡ ἐλευθερία, „καὶ ἡ δίκη ἐκ τῶν Θεῶν. τῶν μὲν ἀνθρώπων, ἀνάγκῃ ἅττ᾽ „ἂν πράττοιεν πραττόντων, καὶ οὐκέτι οὔτ᾽ ἂν κυρίων ἑαυ„τῶν ὄντων, οὔτ᾽ ἂν ἐλευθέρων· τῶν δὲ Θεῶν, ἤτοι τὸ παρ„άπαν ἀφεστώτων τοῦ κολάζειν ἂν τοὺς κακοὺς, ἢ οὐκ ἂν „ἐν δίκῃ κολαζόντων, εἴγε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί· ἡ μὲν οὖν ἀντίθεσις αὕτη, πῇ μὲν πρὸς ἡμῶν οὖσα, πῇ δ᾽ οὐ πρὸς ἡμῶν, παρόσον ἀντὶ Θεοῦ θεοὺς παρεισάγει· εἰ δὲ Θεὸς, καὶ ὁ ἀληθὴς, ἀντὶ θεῶν μεταληφθείη ματαίων, πᾶσά τε πρὸς ἡμῶν ἔσαι, καὶ τὸ ἄλυτον ἕξει μεθ᾽ ἑαυτῆς, κἂν εἰ Πλήθων πολλὰ σοφίζοιτο μάτην. ἡμεῖς δὲ καὶ ἄλλως, καὶ ἴσως οὐ χεῖρον, ἐπιχειρήσαιμεν ἂν, ὧδέ πη λέγοντες, καὶ μάλα θαῤῥοῦντως. εἰ ἔσιν εἱμαρμένη, καὶ τὰ μέλλοντα πάντα εἵμαρταί τε καὶ ὥρισαι, ποῦ τὸ ἀγαθὸν τῆς προνοίας; ἐναντίον γὰρ καὶ πάντη ἀξύμβλητον, εἱμαρμένη προνοίᾳ, εἰ δεῖ γε οὕτως εἰπεῖν· εἰ καὶ Πλήθων εἰς ταυτὸν συνάγει πρόνοιάν τε καὶ εἱμαρμένην. πῶς δὲ καὶ ἀγαθὸς ὁ Θεὸς, καὶ ὑπεράγαθος, καὶ παντὸς ἀγαθοῦ αἴτιος καὶ μόνος ἀληθῶς αἴτιος; εἰ γὰρ καὶ ἄλλα τινὰ τινῶν ἀγαθῶν αἴτια, ἀλλὰ μεθέξει τοῦ μόνου ἀγαθοῦ εἰσιν αἴτια: ἡ γὰρ καὶ εἱμαρμένη δι᾽ αὐτόν· καὶ εὐλαβοῦμαι λέγειν, ὅσα ἐντεῦθεν ἕπεται ἄτοπα, ὧν ἔνια ἐν τοῖς ἄνω λόγοις ἐσίν. οὐ γὰρ ἀγαθῶν αἰτία μόνον ἡ εἱμαρμένη, ἀλλὰ καὶ μὴ ἀγαθῶν, εἴγε πάντα καθ᾽ εἱμαρμένην, καὶ οὐδὲν ὅ, τι μὴ κατ᾽ αὐτήν. ἢ ἔσαι τι τῷ ἀγαθῷ ἀντικαθισάμενον, ἡ εἱμαρμένη

δη-

poni solutio, quæ curam mereatur aut diligentiam? Quare ubi non habet, quid respondeat, si ut par erat dubia movisset, ita movet, quemadmodum ipsi visa sunt quam facillime posse confutari. „ Obji-
„ ciat quis nobis, inquit: Si omnia definita essent,
„ nihilque expers esset necessitatis eorum quæ sunt
„ aut fiunt, sequeretur, & ex humano genere liberta-
„ tem exulare, & justitiam ex Diis. Quoniam nimirum
„ homines ex necessitate facerent, quæcunque fece-
„ rint, neque vel sui amplius arbitrii forent, vel liberi:
„ Dii vero vel vacarent omnino à suppliciis improbo-
„ rum, vel præter jus fasque punirent, siquidem mali
„ sint ex necessitate mali. Hæc itaque objectio aliqua ratione nostra est, alia non est, quatenus nimirum pro Deo introducit Deos. Quodsi autem verus Deus substituatur in locum vanorum Deorum, tota erit nostra, & dissolvi non poterit, utut frustra Pletho multa fuerit cavillatus. Nos vero aliter etiam, nec deterius forte, instituerimus rationem, ita dicendo, & admodum quidem confidenter: Si fatum est, & futura omnia sunt constituta atque definita, quid facies bonitati providentiæ? nam si licet ita dicere, inimicum est neque temere conciliandum providentiæ fatum, quanquam Pletho providentiam & fatum cogit in unum. Quomodo præterea bonus erit Deus, ac summe bonus, omnisque boni auctor, & solus vere auctor? (Quamvis enim & aliæ nonnullæ res bona quædam efficiant, tamen dum participes sunt unici boni efficiunt.) Aut enim fatum per Deum: sed metuo dicere quæ hinc absurda fluant, quorum supra commemoravimus nonnulla. Non enim bonorum modo causa erit fatum, sed & malorum, siquidem omnia fiant fato, nihilque eodem

δηλαδὴ, ὃ τῶν ὄντων ὁριστικόν τε καὶ ποιητικόν. καὶ οὕτως, ἢ οὐδενὸς τῶν ὄντων αἴτιον τὸ ἀγαθόν, ἢ οὐκ αὐτὴ αἴτιον, ἀλλὰ Διὶ τὰ ὄντα ὁρίζεται. καὶ παρίημι τέως λέγειν τὴν ἐνθεωρουμένην ἂν μάχην τῷ ἀγαθῷ καὶ τῇ εἱμαρμένῃ, εἰ ἀλλήλοις ἀντικαθίσταιτο. ἑκάτερον γὰρ ἑκατέρῳ ἐναντιώσεται, καὶ ἀνελεῖν διανοήσεται θάτερον. ὃ εἰ μὲν δυνήσεται θάτερον, οὐκ ἔσται τὸ ἕτερον· εἰ δὲ μὴ δυνήσεται, οὐ παντοδύναμον τὸ ἀγαθόν. εἰ δὲ ἰσοπαλὴς ἡ δύναμις ἐν ἀμφοῖν, ὡς μάχεσθαί τε ἀλλήλοις, καὶ οὐδὲν ἧττον εἶναι τε ἄμφω, καὶ σώζεσθαι, τῆς ἰσότητος τῆς ἑκατέρου δυνάμεως, ἄμφω συντηρούσης, τε καὶ διασωζούσης· πρῶτον μὲν, συνεκταθήσεται αὐτοῖς ὁ πόλεμος ἐς ἀΐδιον, ἐσχάτην ὑφισταμένοις καὶ ἀπέραντον ταλαιπωρίαν, ἀνήνυτα μάχεσθαι καὶ πονεῖν. ὃ πῶς αὐτοῖς τὸ ἀγαθὸν καὶ ἄλυπον, καὶ ἀπαθὲς καὶ εὔδαιμον διασώσεται, ἐφιεμένοις μὲν τὸ λυποῦν ἐκ μέσου ποιῆσαι, μὴ μέντοι καὶ δυναμένοις; ἔπειτα δὲ, διατί ἰσοπαλὴς ἡ τοιαύτη δύναμις ἐν ἀμφοῖν· ἢ διὰ τἀγαθόν; ἢ οὖν ἄμφω δι' ἕτερον, ἢ θάτερον διὰ τὸ λοιπόν. ἑκατέρως δὲ ἔσται διὰ τἀγαθὸν τὸ μὴ ἀγαθόν. ἢ γὰρ ἄμφω ἀγαθὰ, ἢ θάτερον. ἀλλ' ἄμφω μὲν οὐκ ἂν εἴη· οὐ γὰρ ἂν οὐδ' ἀντικαθίσταιτο, οὐδ' ἁπλῶς ἂν εἶεν ἀγαθὰ, ἀλλὰ πῇ, διαφόρως γὰρ ἀγαθὰ ἔσται. ἢ οὖν οὐδέτερον ἀγαθὸν, εἴγε μὴ ἁπλῶς ἀγαθὸν, ἢ θάτερον μὲν, θάτερον δὲ μή· ἓν γὰρ τὸ κυρίως ἀγαθόν. εἰ δὲ τὸ ἓν ἀγαθὸν, θάτερον ὡς εἴρηται οὐκ ἀγαθόν. ἀλλὰ τὸ μὲν ἀγαθὸν, μὴ

ἀγα-

invito fiat. Aut certe erit aliquid quod repugnet bono, nimirum fatum, quod omnia definiat & efficiat: Atque ita vel nullius rei caufa erit bonum illud fummum, vel fatum nullius erit, & à Jove quæ funt omnia definientur. Prætereo interim filentio, quæ intelligi poffit effe pugna inter bonum & providentiam, fi invicem opponantur. Alterum enim adverfabitur alteri, & tollere conabitur alterum. Quod fi alterum poffit perficere, alterum erit nullum. Si non poffit, bonum iftud non gaudebit confummata potentia. Si vero æquales in utroque vires dicas, ut & pugnent inter fe, & fint nihilominus ambo atque conferventur, quod æqualitas virium utriufque, confervet eadem & tueatur: Primo quidem bellum hocce in æternitatem extrahetur, dum interea fummam hanc & interminatam miferiam fuftinent, ut nihil proficientia pugnent laborentque. Quod qui poffit illis bonitatem, vacuitatemque ægritudinis & moleftiæ, omnem denique felicitatem relinquere, ubi conentur quidem id quod moleftiam afferat, tollere e medio, neque tamen poffint? Deinde vero, quidnam eft, quod æqualem illam ambobus dedit potentiam: Num bonum aliquod? Aut igitur ambo funt pet aliud, aut alterum ex altero. Sed utroque modo a bono, id quod non bonum eft manabit. Nam aut ambo bona funt, aut alterutrum. Sed ambo effe nequeunt. Nec enim fibi invicem repugnarent: neque effent prorfus bona, fed aliqua tantum ex parte, quoniam cum varietate bona effent. Aut igitur neutrum bonum, fiquidem prorfus bonum non eft, aut alterutrum tantum: unicum enim eft bonum eminens. Si vero unum tantum bonum eft, alterum, ut diximus, non eft

ἀγαθὸν λέγειν, ἀνόητον. λείπεται δὴ, τοῦτο εἶναι τὴν εἱμαρμένην. ἢ οὖν οὐκ ἀγαθὸν οὖσα, ἐκ μέσου ἔσται διὰ τἀγαθόν· ἢ οὐ παντοδύναμον τὸ ἀγαθόν· ἢ οὐ μόνον ἀγαθῶν αἴτιον τὸ ἀγαθόν. ἀλλὰ μὴν καὶ παντοδύναμον τὸ ἀγαθὸν, καὶ παντὸς ἀγαθοῦ αἴτιον, κακοῦ δὲ οὐδενός. οὐκ ἄρα ἐστὶν οὐδὲν τοπαράπαν ἡ εἱμαρμένη. καὶ μὴν οὐδ' ἐνδεχόμενον ἔσται οὐδὲν, οὐδὲ τὸ ὁπότερ' ἔτυχεν, εἰ ὡρισμένα τε εἴη καὶ εἱμαρμένα πάντα τὰ μέλλοντα, οὐδὲ βουλεύεσθαι δέοι ἂν, οὐδὲ πραγματεύεσθαι. ὃ γὰρ πάντως εἵμαρται, βουλευομένοις ἔσται καὶ μὴ, πραγματευομένοις τε ὁμοίως καὶ μηδὲν πράττουσι τοπαράπαν. καὶ τί δεῖ λοιπὸν βουλευτήρια συνιστᾶν, καὶ πράξεσιν ἐγχειρεῖν. οὐ δεόντως ἀλλ' εἰς κενὸν πονοῦντας, εἰ καθ' εἱμαρμένην ἅπαντα, καὶ οὐδὲν παρὰ τὴν ἡμετέραν πρᾶξιν τε καὶ ἐνέργειαν· οὐδ' αὐτὸ τὸ ἐνεργεῖν ἡμᾶς, ὡς οὕτως εἰπεῖν, κατὰ τὴν εἱμαρμένην πάντα τιθέμενον. ὃ καὶ ἐπ' ἄπειρόν πως τὴν εἱμαρμένην ἀναβιβάσεται, εἱμαρμένης ἐξ εἱμαρμένης ἐγειρομένης, καὶ οὐδαμοῦ οἵου τε ὄντος εὑρεθῆναι, οὗ στήσεται ἡ ἀναγωγή. οὐ δέοι ἂν οὖν, οὐδὲ βουλεύεσθαι, οὐδὲ πραγματεύεσθαι. τὸ γὰρ ἐπικλωσθὲν εἱμαρμένῃ, τοῦτο ἐγρηγορόσι τε ὁμοίως καὶ καθεύδουσιν ἔσται. οὐ δὴ δέοι ἂν ἔτι πρὸς τούτοις οὐ γεωργεῖν, οὐ ναυτίλλεσθαι, οὐκ ἐμπορεύεσθαι, οὐ στρατεύεσθαι, οὐ δικάζειν, οὐ κρίνειν· τέχνη τε πᾶσα καὶ πᾶν ἐπιτήδευμα ἐκ μέσου ἔσται γεγενημένον· ῥᾳστώνη δὲ πᾶσα, καὶ ἀπραξία, καὶ ἄνεσις τὸν ἀνθρώπινον καταλήψεται βίον· ὃ γὰρ ἐξ ἑκάστου τῶν ἐν πράξεσιν ἡμῖν ἐγγίνεσθαι εἴωθεν, ἢ ἔσται ἢ οὐκ ἔσται, ὁποτέρως ἂν εἱμαρμένῃ δοκοίη. ἀλλ' εἰ ταῦτα τῇδε παρὰ πᾶσι κρατήσειε,

ταχὺ

bonum. Sed cum id quod bonum est, non bonum dicere velle sit absurdum, relinquitur, hoc in fatum convenire. Quare cum fatum sit illud non bonum, aut tolli poterit a bono, aut bonum istud non poterit omnia efficere, aut certe non bonorum unice causa erit. At vero summum bonum & gaudet potentia absoluta, & omnis boni causa est, nullius autem mali. Efficitur ergo, nihil esse omnino fatum. Præterea, neque contingens quicquam foret aut fortuitum, si definita essent omnia futura, fatoque constituta. Quin neque necesse foret deliberare, aut operam alicui rei dare. Nam quod omnino fieri fatum est, & deliberantibus eveniet, & non deliberantibus, laborantibus juxta & nihil agentibus. Quid vero attinet porro curias constituere, & rebus gerendis admovere manum, cum minus necessariam ac inutilem consumturi essemus operam, si fato fierent omnia, nihil autem nostra opera & labore, ne illud quidem ipsum quod laboremus, ut ejus concludam vestigiis, qui ad fatum omnia refert. Id quod infinitam fatorum seriem producet, ubi fatum severit fatum, ac nullus inveniri possit terminus, in quo illa fatorum series consistat. Non ergo necesse erit consilia agitare, aut in aliquid incumbere, Nam quod destinatum est a fato, vigilantibus æque ac dormientibus eveniet. Præterea vero non opus erit agrum colere, aut navigationes instituere, non mercaturam exercere, non stipendia facere, non disceptare causas aut dijudicare: Omnis ars, omne studium erit e medio sublatum, desidia vero ac inertia & otium, vitam occupabunt humanam. Nam quod unaquaque actione solemus consequi, aut est futurum, aut non est, prout fato fuerit visum. At si ista hic obtinerent

ταχὺ ἂν ἐκ μέσου εἴη, τὰ τ' ἀνθρώπινα πάντα, καὶ σὺν αὐτοῖς ἄνθρωπος ἑπομένως, ἐπεὶ μὴ οἷόν τε, εἶναι ἄνθρωπον ἀνθρωπίνων χωρίς. εἰ δὲ καὶ ταῦτα καθ' εἱμαρμένην, ἢ οὐ μόνον ἀγαθῶν αἰτία ἡ εἱμαρμένη, ἀλλὰ καὶ μὴ ἀγαθῶν· ἢ ἄλλη μὲν ἀγαθῶν, ἄλλη δὲ μὴ ἀγαθῶν. καὶ οὕτω δύο ἔσονται εἱμαρμέναι. εἰ δὲ δύο, τί κωλύει, καὶ πολλὰς εἶναι· μᾶλλον δὲ καὶ ἀπείρους, ἑκάστου τῶν ὄντων ἑκάστοτε εἱμαρμένης ἑπομένης ἰδίᾳ. θαυμάζω δὲ καὶ εἰ τὸ μέν τις ἀρετὴν, τὸ δὲ κακίαν καλέσει, οὔσης εἱμαρμένης. τὸ γὰρ αἱρεῖσθαι τῇ ἀνάγκῃ δεδόσθαι, οὐ συνάσεται. καὶ εἰ παιδεύσει τις τὸν υἱὸν, εἱμαρμένης οὔσης. εἰ γὰρ οὕτως εἵμαρται παιδεύσεται, καὶ αὐτοῦ μὴ παιδεύοντος· εἰ δὲ μὴ εἵμαρται οὐ παιδεύσεται, κἂν πᾶσαν αὐτὸς εἰσάγῃ περὶ τὸ παιδεῦσαι σπουδήν. τίς δὲ καὶ τὸν δοῦλον κολάσεται ἁμαρτάνοντα, ἢ τὴν γυναῖκα εἰς δικαστήριον ἀναβιβάσεται μοιχευθεῖσαν, ἢ τὸν ἁλόντα φόνου κρινεῖ, καὶ ὑπὲρ τοῦ φονευθέντος δικάσεται, καὶ δίκην λήψεται παρ' αὐτοῦ; οὐ γὰρ ἑκόντες, ἀλλ' ἀνάγκῃ τε καὶ εἱμαρμένῃ τούτοις περιπεπτώκασιν. ὥστε οὐ μόνον οὐ κολάσεων, ἀλλὰ καὶ ἀμοιβῶν ἄξιοι, πειθαρχοῦντες εὐγνωμόνως, οἷς ἔδοξεν εἱμαρμένῃ· ἀνάγκῃ δέ τινι καὶ ἀφύκτῳ βίᾳ συνελαυνόμενοι περὶ εἰς ἕκαστα τῶν ἀπηρτισμένων, καὶ ὅσα τοῖς ἀπηρτισμένοις παραπλήσια, ὁ ἑκάστοτε χρόνος καὶ βίος ἑκάστων ἔχει ἔργα τε καὶ παθήματα. εἰ μὴ καὶ τὰ πρότερα καθ' εἱμαρμένην λέξει τις, καὶ τὰ ὕστερον ὁμοίως οὐκ ἄνευ αὐτῆς. ἀλλὰ ταῦτα παιζόντων, ἵνα μὴ ἀσεβούντων εἴπω· ἀλλ' οὐ σπουδαζόντων ἂν εἴη, καὶ παισὶν ἐοικότων, ἐν ἀγορᾷ παίζουσιν, οἰκοδομοῦσί τε, καὶ αὖ καταλύουσιν, ἃ φθάσαντες ᾠκοδόμησαν. εἰ δὴ ταῦτά τε καὶ τὰ τοιαῦτα· (πάντα γὰρ ἀπα-

rent apud omnes, celeriter & de rebus humanis a-ctum foret, & adeo de hominibus ipsis, siquidem vivere sine rebus humanis homines nequeunt. Jam si hæc quoque fato fierent, aut non bonorum modo fatum erit causa, sed & malorum: aut aliud fatum bonorum erit, aliud malorum, adeoque duo erunt fata. Quod si est, quid prohibet etiam plura esse, imo infinita, ut singulæ res suo quælibet fato regantur. Miror etiam, si quis possit vel hoc virtutem, vel illud vitium vocare, stante fato. Male enim consonant hæc, agere cum proposito, & necessitati servire. Miror quoque, si quis filium erudiat, cum fatum sit. Nam si ita fato constitutum sit, eruditus fiet, etiam illo non erudiente; sin minus, rudis omnium literarum relinquetur, utut is omnem in instituendo adhibuerit diligentiam. Quis præterea aut delinquentem servum puniet, aut uxorem deprehensam in adulterio rapiet in jus, aut cædis reum condemnabit, & causam orabit occisi, aut ab illo pœnam sumet? Non enim isti sponte, sed necessitate ac fato in hæc omnia inciderunt: Ut proinde non tantum non pœnis, sed & præmiis digni sint, quod iis quæ fato visa sunt æquo animo pareant, vel quod necessitate quadam ac vi ineluctabili adigantur ad singula, quæ ipsis dimensa sunt, aut quas dimensis similes, quodque tempus & cujusque vita continet actiones vel affectiones. Nisi quis & priora illa fato, & posteriora hæc non absque eodem fieri dixerit. Sed hæc ludentium sunt, ne profanorum dicam; certe non serio rem tractantium, & pueris simillimorum, qui ludunt in foro & ædificant, rursus vero destruunt quæ ante exstruxerant. Si igitur hæc & similia: (omnia enim annumerare

cum

ἀναριθμήτων περίεργον, ἀλλ' ἄττα τι καὶ ὅτι μὴ περιέργου περὶ τούτων ἡμῖν λέγειν, ἱκανῶς ἀνεσκευασμένων τῶν τὴν εἱμαρμένην εἰσαγόντων λόγων· ἀλλ' ἴσον μόνον ἐνδείξασθαι, τὰ καὶ ἄλλως ἐνεῖναι δυνατὸν εἶναι, ἀλλ' οὐχὶ μόνον ὡς ἀντιτεθεικέναι Πλήθων ἠξίωσεν.) εἰ δὴ ταῦτά τε καὶ τὰ τοιαῦτα ὡς ἀληθῶς ἄτοπα καὶ ἀδύνατα, οὔτε εἱμαρμένη λοιπόν ἐστιν, οὔτε τὰ μέλλοντα πάντα ὥρισθαί τε ἐξ αἰῶνος, καὶ δέδοται καθ' εἱμαρμένην. ἃ μὲν οὖν τις εὐλόγως ἀντιθείη πρὸς τοὺς εἱμαρμένην τιθεμένους, ταῦτα καὶ τοιαῦτά ἐστιν. Πλήθων δὲ τὴν αὐτῷ προχειρισθεῖσαν ἀντίθεσιν ἐπιλυόμενος, μέχρι μέν τινος, ὀρθοῦ ἔχεται λόγου, καὶ τῇ ἀληθείᾳ συνᾴδει. εἶθ' ὥσπερ ἐξεπίτηδες ἐκτραπεὶς τῆς εὐθείας, ἐπὶ τὴν ἰδίαν ἠρέμα πως ἀσέβειαν ὑποκατακλίνεται. „ φησὶν οὖν, τοὺς μὲν ἀνθρώπους κυ-
„ ρίους ἂν ἑαυτῶν εἶναι· οὐ τῷ μὴ ὑπ' οὐδενὸς ἂν τοπαράπαν
„ ἄρχεσθαι, μήτε τοῦ ἄλλου, μήτ' ἂν αὐτοῦ θεοῦ. (εἰ
„ καὶ θεοὺς αὐτὸς ἀντὶ θεοῦ τίθησιν.) ἀλλὰ τῷ ἔχειν μέν
„ τι ἐν ἑαυτοῖς ἄρχον, τὸ φρονοῦν, τὰ δὲ πολὺ ἀρχόμε-
„ νον, καὶ οὐ πολλοῦ τούτου ἓν, τὸ φρονοῦν τε καὶ φύσει βέλ-
„ τιστον τῶν ἡμετέρων, κύριον ἂν εἶναι. αὐτὸ δὲ δὴ τὸ φρο-
„ νοῦν, ὡς οὐκέτ' ἄρχοιτο ὑπ' οὐδενὸς, οὐκ ἂν ἔχοι εἰπεῖν.
μέχρι μὲν δὴ τούτου, ἔχεσθαί πη καὶ αὐτὸς ἀληθείας δοκεῖ. κύριοι γὰρ ἑαυτῶν ἀληθῶς οἱ ἄνθρωποι, οὐ τῷ μὴ ὑπ' οὐδενὸς ἄρχεσθαι. ἄρχονται γὰρ θεόθεν, ὡς ὑπὸ δημιουργοῦ καὶ δεσπότου, καὶ πᾶσαν ἀγαθὴν δόσιν, καὶ πᾶν δώρημα τέλειον ἐκεῖθεν ἔχοντες, ὥς τὰ λόγιά φησι, παρὰ τοῦ πατρὸς καταβαῖνον τῶν φώτων. ἀλλὰ τῷ ἔχειν καὶ αὐτοὶ, τὸ μέν τι ἄρχον ἐν ἑαυτοῖς, τὸ φρονοῦν· ᾧ καὶ κατ' εἰκόνα θεοῦ λέγονται γεγενῆσθαι, καὶ ᾧ ἐντεταγμένον ἐστὶ

τὸ

cum alia de causa morosum foret, tum quoniam operæ pretium non est, de his amplius dicere, postquam abunde confutata sunt argumenta, quæ fatum inducere videbantur, nisi quantum opus est, ut ostendamus, aliter etiam premi posse, quam quidem premere Plethoni placuit.) Si igitur hæc, inquam, & similia vere sunt absurda ac fieri non possunt, efficitur, neque fatum esse, neque futura omnia esse definita ab æternitate, & fato evenire. Quæ quis itaque possit iis qui fatum ponunt, cum ratione opponere, hæc fere sunt & similia. Pletho autem, dum dubium allatum conatur dissolvere, aliquatenus quidem sequitur rectam rationem, atque concinit cum veritate; deinde vero, quasi data opera deflectens a recta via, ad suam paulatim revertitur impietatem. Dicit itaque, „ homines esse sui ju-
„ ris & arbitrii, non quidem, ut nullius pareant im-
„ perio, vel alius cujusdam, vel ipsius Dei; (quan-
„ quam Deos ipse ponit loco Dei.) Sed ut ha-
„ beant intra sese quendam principatum, scilicet
„ mentem, pleraque vero, quæ pareant impe-
„ rio: Et multorum quidem horum, unam quæ
„ optimum sit natura in nobis, dominam esse men-
„ tem. Ipsa vero mens quod porro nemini pareat,
„ dici non posse. Hactenus quidem ipse etiam Pletho stare videtur a veritate. Vere enim sui sunt arbitrii homines, non quidem, ut nemini pareant: Parent enim Deo, tanquam opifici ac domino, omneque bonum donum, & omne perfectum munus, ut oracula divina dicunt, ab ipso nanciscuntur, Patre illo luminum; Sed ut ipsi quoque habeant in se principatum quendam, videlicet mentem, secundum quam dicuntur etiam ad imaginem divinam esse conditi,

τὸ προαιρετικόν τε καὶ αὐτεξούσιον. τὸ δὲ πολὺ ἀρχόμενον, τὸ θυμούμενόν τε καὶ ὀρεγόμενον. (περὶ γὰρ τῆς ἀρχῆς τῆς ἔξω τοῦ ἀνθρώπου, παρίημι λέγειν.) ὧν ὡς δεσπότης τὸ φρονοῦν ὑπερκάθηται, ἡνιοχοῦν τε αὐτὰ, ὡς ἵππους ἡνίοχος, καὶ δουλαγωγοῦν ἑαυτῷ, καὶ τὴν ἐπὶ τὰ χείρω ἀναστέλλων ὁρμήν. εἰ μόνον ἑαυτῷ προσέχοι, τοῦ ἰδίου ἀκλινῶς ἐχόμενον ἀξιώματος, καὶ μὴ συγκατασπῷτο ταῖς ἀλόγοις δυνάμεσι, συγκαθελκούσαις ἀπὸ τοῦ ἰδίου ὕψους ἐπὶ τὴν ἑαυτῶν ταπεινότητα, τῷ πλέον ἢ χρῆν καθυφεῖναι τὸν χαλινὸν, ὡς συναπαγαγεῖν ἐφ' ἅπερ οὐ θέμις τὸν ἡγεμόνα. καθάπερ ἵππος τὸν ἀναβάτην, τῆς ἡνίας ὑποχαλασθείσης αὐτῷ· ὅτε καὶ δυσκάθεκτος γίνεται τῷ τῆς φορᾶς ἀτάκτῳ, τῷ τὸν χαλινὸν ἐνδακεῖν, καὶ μηκέτι οἷόν τε εἶναι αὐτὸν τῆς ἐπὶ τὰ πρόσω φορᾶς ἐπισχεῖν, καθάπαξ ὡς οὐκ ἐχρῆν τὴν ἀρχὴν ἐξουσίαν εἰληφότα θεῖν ἀκαθέκτως· καὶ ἀλόγως οὕτω φερόμενον, κατὰ κρημνῶν τε συμβὰν οὕτως καὶ σκολόπων ἀπωθοῦντα, καὶ τῷ βιαίῳ τῆς ὁρμῆς συντρίβοντά τε καὶ ἀπολλύντα. οὕτω καὶ τὸ τῶν ἀλόγων ἡγεμονεύειν τεταγμένον δυνάμεων, αἷς ἀῤῥήτως συνέζευκται, εἰ μὴ προσέχοι ἑαυτῷ, συγκατασπᾶταί τε καὶ συγκαθέλκεται ταύταις, καὶ συγκαταπίπτει. ὥσπερ κατὰ κρημνῶν τινῶν καὶ σκολόπων ἀποῤῥιπτόμενον, κατὰ τῶν ἀπ' αὐτῶν τικτομένων ποικίλων παθῶν, οἷς συντρίβεται καὶ ἀπόλλυται, τῷ βιαίῳ τῆς ὁρμῆς, μηκέτι μηδ' ἐπισχεῖν σχεδὸν ἐξισχύον αὐτά. ὃ κατὰ μικρὸν οὕτω καὶ πρὸς τὸν τῆς ἀπογνώσεως παραπέμπει βυθὸν, ὅθεν οὐκ ἔστιν οὐδ' ἀνανεῦσαι, πολλῷ τῷ τῶν παθῶν βάρει κατατεινόμενον, ἅπερ αὐτῷ ἐπεφορτίσατο, τῷ ἑαυτῷ μὴ προσέχειν. ἃ μὲν οὖν συνᾴδει τῇ ἀληθείᾳ, ταῦτά τε καὶ ἐπὶ τοσοῦτον· εἰ μὴ καὶ

κεῖ-

& in qua inest facultas, cum proposito ac pro arbitrio agendi. Pleraque vero quæ parent, sunt irascendi atque appetendi facultates, (nam in quæ externa homo dominetur, taceo.) Quibus tanquam domina præsidet mens, quasque gubernat velut auriga equos, atque sub suam potestatem subjungit, reprimitque, ne in pejora ruant: modo sibi ipsi caveat, neque a propria se dignitate moveri deflectique patiatur, ac nisi brutis abripiatur facultatibus, quæ laxatis plus justo frenis, eam de proprio fastigio detrahant ad humilem suam conditionem, atque ad ea deferant, ad quæ deferri imperantem non decet. Quemadmodum sessorem solet admissus equus: qui, ubi propter immoderatum impetum jam difficulter potest retineri, atque frenum simul mordet, nec ipse se reprimere potest a præcipiti cursu, postquam semel, præter quod fieri primo decebat, adeptus est potestatem currendi effusius, sessorem temere ac imprudenter vectum, per præcipitia quoque si contingat, atque prærupta loca detrudit, impetuque vehementiori conterit perditque Ita quoque, quod facultatibus brutis debet imperitare, quodque iis incomprehensa ratione junctum est, ni sibi caveat, trahitur illis atque abripitur, & veluti per præcipitia ac prærupta loca projectum defertur, per varias nimirum, quas illæ pariunt, animi perturbationes, quibus conteritur perditurque, dum propter effrenum impetum cohibere illas nequit amplius, atque ita brevi in barathrum desperationis detruditur, unde ne caput quidem tollere possit, prostratum ingenti pondere affectuum, quibus se incautum antea oneraverat. Quæ quidem igitur concinunt cum veritate, hæc fere sunt & hactenus:

κεῖνος οὕτως, ὡς ἡμεῖς, διηρθρωμένως ἐκτίθησι καὶ σα-
φῶς, ὁπωσοῦν ἀκριβείας ἐχόμενος. ἐφεξῆς δὲ, ὡς οἱ πα-
ραχαράκται τὸ νόμισμα κιβδηλεύουσιν, οὕτω καὶ αὐτὸς κε-
κιβδηλευμένῳ νοΐ, τῇ τῆς ἀληθείας ἁπλότητι δεῖν ᾠήθη
,, μὴ ἐμμεμενηκέναι. διὸ καὶ φησίν· αὐτὸ δὲ τὸ φρονοῦν ὡς
οὐκ ἔστ' ἂν ἄρχοιτο ὑπ' οὐδενὸς, οὐκ ἂν εἴη εἰπεῖν· ὃ πρῶτον
,, μὲν τοῖς ἔξω πράγμασι φαίνοιτ' ἂν ἑπόμενον. ἔπειτα,
,, εἰ καὶ μὴ ὡσαύτως ἅπασιν ἀνθρώποις, τὸ φρονοῦν τοῦτο
,, ὑπὸ τῶν αὐτῶν πραγμάτων φαίνεται διατιθέμενον,
,, οὐκ ἂν ὀρθῶς τις οἰηθείη, μηδ' ἐξ ἀνάγκης ἂν ἕπεσθαι
,, αὐτὸ τοῖς πράγμασι. δῆλον γάρ ἐστι τοῦτο συμβαῖνον,
,, παρά τε τὴν ἰδίαν αὐτοῦ τοῦ φρονοῦντος ἑκάστοτε φύσιν,
,, παρά τε τὴν ἄσκησιν. ἄρχεσθαι φησὶ τὸ ἐν ἀνθρώποις
φρονοῦν, καὶ τούτου δεῖγμα εἶναι, τὸ τοῖς ἔξω φαίνεσθαι πράγ-
μασιν ἕπεσθαι· ὃ ταυτὸν ἂν εἴη, τῷ ὑπὸ τῶν ἔξω πραγμά-
των ἄρχεσθαι. οὐ γὰρ ἂν αὐτοῖς ἂν εἵπετο φαίη, μὴ ἀρχό-
μενον ὑπ' αὐτῶν· οὐδ' ἂν ἦν τοῦτο τοῦ ἄρχεσθαι τεκμήριον, εἰ
μὴ ὡς ἀρχόμενον πρὸς ἄρχοντα εἶχεν. οὐ τοίνυν ὑπὸ Θεοῦ
μόνου ἄνθρωπος ἄρχεται, ὥσπερ ὁ τῆς ἀληθείας βούλεται
λόγος, οὐδ' ὑφ' ἑαυτοῦ μόνου, κατὰ δεύτερον λόγον, ὡς αὐ-
τοκράτορα αὐτὸν ἑαυτοῦ εἶναι· ἀλλὰ καὶ ὑπὸ τῶν ἔξω πραγ-
μάτων. ὡς μὴ τῷ δημιουργῷ καὶ ποιητῇ, μηδ' ἑαυτῷ μό-
νον εἶναι ἀρχόμενον, ἀλλὰ μετ' ἐκεῖνον καὶ πολλοῖς ἄλ-
λοις. τὸ δ' οὕτω πολλοῖς δουλεύειν, πῶς τὴν ἐλευθερίαν
τῷ δουλεύοντι διασώσεται· καὶ μάλιστ' ὅτε καὶ μὴ μονοει-
δὲς τὸ ἄρχειν, ἀλλὰ διάφορον; οὐ γὰρ ὅς δὴ λόγος τῆς θεό-
θεν ἀρχῆς, ὁ αὐτὸς ἂν εἴη καὶ τῶν ἔξω πραγμάτων. Θεὸς
μὲν γὰρ ἀνθρώπων ἄρχει, τῷ ποιητὴς εἶναι καὶ δεσπότης
αὐτῶν, καὶ μὴ βιάζεσθαι, ἀλλ' οὕτως ἐᾶν ὡς βούλονται

ζῆν,

nisi quod ipse non exponat adeo articulatim & dilucide, quomodocunque tuitus accurationem. Deinde vero sicut adulteratores solent nummos adulterare, sic ipse etiam, adulterata mente, simplicitati veritatis sibi non inhærendum amplius duxit, ideoque dicit: „ Ipsa vero mens quod porro pareat „ nemini, dici non potest: Quippe quam primo „ quidem res externas sequi, satis est manifestum. „ Deinde, licet non in omnibus, ab iisdem rebus, „ eodem affici modo intelligatur, minus tamen re- „ cte quis judicet, illam propterea non ex necessi- „ tate res sequi: Siquidem apparet, hoc & a diver- „ sa cujusque mentis natura, & ab exercitatione pro- „ ficisci. Imperio dicit subesse mentem humanam, atque huic argumento esse, quod res externas sequi conspiciatur. Quod eodem redit, ac si illam dixisset rebus externis parere. Neque enim, ratiocineris licet, sequeretur illas, nisi esset illis subjecta: neque hoc argumento foret, mentem sub imperio esse, nisi eadem ejus esset erga res ratio, quæ parentis est erga imperantem. Ergo non tantum Deo paret homo, quod veritatis ratio docet, neque, quod dari etiam debet, sibimet ipsi, ut sui sit ipse arbitrii; verum etiam rebus externis: Ut adeo non architecti solum & opificis sui, sed & multorum præterea aliorum imperio subsit. Sed cum adeo multis serviat, quomodo quæ serva est, suam tuebitur libertatem; præcipue cum non unius generis sit, sed varia servitus? Non enim qualis est imperii divini ratio, eadem temere est rerum externarum. Deus enim hominibus imperat, quod opifex eorum ac dominus est; non quidem ut eos cogat, sed ut vivere sinat, uti libuerit, postquam eos semel libera volun-

ζῆν, καθάπαξ αὐτοὺς τῷ αὐτεξουσίῳ τετιμηκώς· τὰ δὲ ἔξω εἰ ἄρχει, οὐ τοῦτον ἄρξει τὸν τρόπον; ἀλλ' ἕτερον, καὶ αὐτὸν διάφορον ἑαυτῷ. „ταὐτὸ γὰρ ὁτιοῦν, πλείοσι μὲν, „διαφέρουσι δέ πη ἀλλήλων, προσπίπτον, ὥς τι δρά-„σον, διαφέροντά τοι καὶ τὰ παθήματα ἐξ ἀνάγκης ἀ-„περγάσεται, φησὶν ὁ Πλήθωνος λόγος. ἄρχει οὖν τὰ ἔξω διαφόρως τοῦ ἐν ἀνθρώποις φρονοῦντος, ὃς δὴ καὶ χαλεπώτατος ἂν εἴη τρόπος δουλείας καὶ ἀσύμφωνος ἑαυτῷ· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ ὑπὸ ἐναντίων ἀρχθήσεται. ἄρξει δὲ καὶ ἄψυχα ἐμψύχου, καὶ αἰσθητικοῦ ἀναίσθητα, ἄλογά τε λογικοῦ, καὶ νοῦ μὴ μετέχοντα μετέχοντος νοῦ· ὅπερ εἰ εὐπρεπὲς, ἐξέστω τῷ βουλομένῳ σκοπεῖν. καὶ εἰ μὲν πᾶσιν ἕψεται, ὑπὸ πάντων καὶ τῶν ἀτιμοτάτων ἀρχθήσεται. καὶ τί τούτου γένοιτ' ἂν αἴσχιον; εἰ δὲ τισὶν, ὑπὸ τινῶν, ἅπερ ἐχρῆν ὑποσημῆναι τῷ λόγῳ, ἵνα καὶ εἰδέναι τις εἶχεν, ὃ Πλήθων ἐβούλετο λέγειν. νῦν δὲ μηδὲν τοιοῦτον προσδιοριζόμενος, δῆλός ἐστι πᾶσιν ἕπεσθαι βούλεσθαι, καὶ ἑπομένως ἄρχεσθαι ὑπὸ πάντων. διατίθεσθαι γὰρ ὑπὸ πάντων, εἰ καὶ μὴ ὡσαύτως ὑπὸ τῶν αὐτῶν, τὸ ἐν ἑκάστοις φρονοῦν. καίτοι καὶ εἰ μὴ ὑπὸ τῶν ἔξω πάντων, ἀλλ' ὑπ' ἐνίων ἀρχθήσεται, οὐδὲν ἧττον ὁ τῆς ἐλευθερίας οὐ διασωθήσεται λόγος. ὅσοις γὰρ ἕψεται, ὑπὸ τοσούτων τε ἀρχθήσεται, καὶ τοσούτοις δουλεύσει· καὶ πῶς τοῦτο διασώσει τῆς ἐλευθερίας τὸν λόγον; εἰ δὲ φαίη, ἄλλο μὲν εἶναι τὸ ἕπεσθαί τὸ δ' ἄρχεσθαι ἕτερον. ἕπεσθαι γὰρ τοῖς οὖσι, τῷ ὑπὸ τὴν αὐτὴν τετάχθαι ἀρχὴν, οὐχὶ τῷ ἄρχεσθαι ὑπ' αὐτῶν· ἐροῦμεν, μὴ δεῖν ἀπὸ τοῦ ἕπεσθαι δεικνύναι τὸ φρονοῦν ἀρχόμενον εἶναι, ἀλλ' ἀπό τινος, ὃ ἄρχον ἔσται αὐτοῦ. ἐκ γὰρ μὴ ἄρχοντος, ἀρχόμενον εἶναί τι δείκνυσθαι, ἵνα μὴ χεῖ-

ρον

voluntate ornavit. At res externæ si imperent, non hoc sed alio imperabunt modo, & eodem vario. „ Nam eadem res quæcunque, pluribus quidem, „ sed aliqua inter se ratione diversis, occurrens, ut „ efficiens quid, diversas etiam necessario affectio- „ nes producet, ut Plethonis perhibet oratio. Res igitur externæ vario modo humanæ menti imperabunt, quod sane molestissimum necesse est genus esse servitutis, neque secum satis conspirans: Idque vel eo magis, quoniam contrariis quoque parere cogetur. Imperabunt præterea inanima animali, sensili insensilia, bruta ratione prædito, mente vacua mente utenti: Quod an satis conveniat, cui libuerit expendendum relinquimus. Quin si omnia sectabitur mens, vilissimis quibuscunque parebit: Quo quid fieri possit turpius? Si quædam tantum sectetur, quibusdam pareat, sane id indicari verbis oportebat, ut quid sibi vellet Pletho, sciri posset. Jam vero cum propositionem ad nihil restringat, manifestum est, mentem ex Plethonis sententia omnes res sequi, adeoque omnibus rebus parere. Affici enim illam dicit ab omnibus, quanquam non uno in omnibus modo. At enim, si maxime non omnibus, sed quibusdam tantum rebus externis pareat, libertatis nihilominus ratio non servabitur. Quot enim res sequetur, totidem rebus parebit, totidem rebus serviet: quod quomodo possit libertatis rationem tueri? Si vero aliud esse dixerit sequi, aliud parere, mentemque ita sequi res, ut eundem cum illis agnoscat dominum, non autem ut iis pareat: respondebimus, non debere igitur ex eo, quod mens nonnulla sequatur, eandem imperio subjectam esse ostendi, sed ex ejusmodi re, quæ ipsi imperet. Nam ex eo, quod non imperat, evincere

re

ρον εἴπω μηδὲν, ἢ πάνυ τοι εὐπρεπές· πρὸς γὰρ ἀρχόμενον, ἄρχον, οὐχὶ, μὴ ἄρχον λέγεται. ἄλλο οὖν τὸ τοῖς ἔξω ἕπεσθαι δείκνυσθαι, ἀλλ' οὐχὶ τὸ εἶναι ἀρχόμενον τὸ φρονοῦν. εἰ δὲ μὴ ἄλλο, ἀλλ' αὐτὸ τοῦτο, ταυτὸν ἄρα βούλεται τῷ ἄρχεσθαι τὸ ἕπεσθαι εἶναι. καὶ πῶς οὐχ ἃ πρόσθεν ἐλέγετο, ἐξ ἀνάγκης ἕψεται πάντα; εἰ δὲ λέγοι, μὴ τὰ ἔξω πράγματα, αὐτὰ καθ' ἑαυτὰ, τοῦ ἐν ἀνθρώποις ἄρχειν φρονοῦντος, ἀλλὰ τὴν ἀφ' ἑκάστου τῶν πραγμάτων ἐγγινομένην τῷ φρονοῦντι διάθεσιν, ἐκείνην εἶναι τὴν ἄρχουσαν, διατιθεῖσαν διατιθεμένου. πρῶτον μὲν, εἰ αἱ διαθέσεις πολλαὶ καὶ διάφοροι, καὶ ἐναντίαι τῶν ἐναντίων, ὅσα τὰ διατιθέντα, ὑπὸ τοσούτων διατεθήσεταί τε καὶ ἀρχθήσεται, καὶ τοσούτοις δουλεύσει τὸ φρονοῦν, ὃ κἂν τοῖς πρόσθεν ἐλέγετο λόγοις. ἔπειτα, οὐδ' ὧν τὸ φρονοῦν ἄρχειν λέγεται, οὐδὲ τούτων αὐτὸ ἄρξει. τὰ γὰρ ἔξω ἔσται, τὰ τὸ πολὺ ἐν ἀνθρώποις διατιθέντα, ὅπερ τὸ φρονοῦν ἓν ὂν ἄρχειν ἐλέγετο. τοῖς γὰρ ἔξω τὸ ἡδόμενόν τε ἡσθήσεται, καὶ θυμώσεται τὸ θυμούμενον. αὐτὰ γὰρ δήπου τὰ ἔξω δηλαδὴ, τὸ θυμούμενόν τε καὶ ἡδόμενον οὕτως ἢ ἐκείνως διαθεῖναι· καὶ τί διοίσει τοῦ ἀλόγου τὸ λογικόν; εἰ δὲ τοῖς μὲν διατιθεῖσι ταῦτα συνδιατίθεται, τὸ δὲ φρονοῦν ἡγεμόνος τάξιν ἐπέχον, ἐπὶ θάτερα προτρέπεται ἢ ἀποτρέπεται, οὐχ ἢ τοῖς ἔξω ἕπεται, τοῦτο ποιεῖ. ἐκεῖνα γὰρ τοιῶσδε ἢ τοιῶσδε διατίθησιν, αὐτὸ δὲ, ἢ ἐκεῖνα διατίθησιν, οὐ πάντως ἕπεσθαι συγχωρεῖ. εἰ μὴ καὶ τοὐναντίον, ἐκ πολλῆς τῆς κατὰ τὸ ἄρχειν ὑπεροχῆς, ἔσθ' ὅτε τὸ διατιθέμενον, τῷ τῆς ἀρχῆς κατάγχον ἀξιώματι, οὐκ ἐπιτρέπει οὐδαμῶς ἕπεσθαι τοῖς διατιθεῖσιν, ἢ ἐκεῖνα πέφυκε διατιθέναι. εἰ μὴ τύχοι τις ἐκλελυμένος οὕτως,

καὶ

re velle, quod aliud pareat, id quidem, ne quid pejus dicam, parum convenit. Parenti enim imperans, non quod imperio destituitur, respondet. Ergo diversum est, cum mens sequi res externas ostenditur, neque idem est, ac quod sub imperio sit. Aut si diversum non est, sed idem, idemetiam statuet esse, sequi & parere. Quidni ergo quæ supra diximus, necessario sequerentur? Si vero dixerit, res externas ipsas per se non imperare humanæ menti, sed quæ a singulis rebus excitetur in mente affectio, illam esse quæ imperet, affectamque afficiat. Primo quidem, si affectiones multæ sunt & variæ, ac contrariæ contrariis, sequetur, ut quot sunt res quæ mentem afficiunt, à totidem rebus afficiatur, totidem rebus pareat serviatque, quod supra quoque monuimus. Deinde, ne iis quidem mens ipsa imperabit, quibus imperare dicitur. Nam res externæ maximam illam hominis partem afficient, cujus tamen una mens domina esse dicta fuit. Per res enim externas & quod gaudet in homine gaudebit, & quod irascitur irascetur, siquidem illæ ipsæ utramque facultatem hoc aut illo modo afficiant: qua ratione quid tandem inter brutum ac ratione præditum intererit? Si autem illæ quidem facultates à rebus afficientibus affici se patiuntur, mens vero imperantis functa officio, vel impellit eas in alterutram partem, vel revocat, sane istud non facit, quatenus res externas sequitur. Nam hae quidem hoc aut aut alio modo afficiunt facultates, ipsa vero non sinit eas motui ab illis impresso prorsus obsecundare. Quin contra aliquando, pro eminenti suo imperio, facultates affectas principatus sui auctoritate repressas, plane non patietur cedere rebus afficientibus, prout illæ natura sua solent affice-

καὶ τοσαύτῃ κεχρημένος ἀβελτηρίᾳ, ὡς τὴν τάξιν ἐναλλάττειν ἐν ἑαυτῷ, ἄρχεσθαι μὲν ποιῶν τὸ τεταγμένον ἄρχειν, τὸ δὲ τὴν τοῦ ἄρχεσθαι τάξιν εἰληφὸς, ἄρχειν ἐκ τοῦ ἐναντίου παρασκευάζων, καὶ δουλεύειν μὲν τὸ δεσπόζον, τὸ δ' αὖ δουλεῦον, δεσπόζειν ἀνοήτως οὕτω μεταποιῶν, οὐχ ἣ οὖν τοῖς ἔξω ἕπεται τοῦτο ποιεῖ, ἀλλ' ἣ προσέχει ἑαυτῷ, καὶ τὸ τῆς ἔξω προσπαθείας καὶ διαθέσεως ἀνώτερόν τε διατηρεῖ καὶ ἐλεύθερον. εἰ δὲ τὰς μὲν διαθέσεις τῶν διαθέντων κατ' αὐτὰς τῶν διατιθεμένων οὐκ αἰτιάσεται, ἀλλά τινα μεσιτεύουσαν ἐν ἀμφοτέροις δύναμιν, καθ' ἣν τὰ μὲν διατίθησι, τὰ δὲ διατίθεται, καὶ τοῦτο τὸ βουλόμενον ἴσως αὐτῷ, ἵνα δὴ τὴν εἱμαρμένην οὕτω παρεισενέγκῃ· πρῶτον μὲν τὸ ζητούμενον ὡς ὁμολογούμενον εἴληφεν. ἔπειτα, εἰ δυνάμει τινὶ, καὶ τὰ διατιθέντα διατίθησι, καὶ τὰ διατιθέμενα διατίθεται, διατί ἡ δύναμις αὕτη εἱμαρμένη ἐστι, ἀλλ' οὐχὶ, ἤτοι ἡ φύσις τοῦ διατιθέντος καὶ ὃ διατίθεται, ἡ μὲν τόδε πεφυκῦια διατιθέναι, ἡ δ' ὑπὸ τοῦδε διατίθεσθαι. οὐ γὰρ πάντα, οὐδ' ὑπὸ πάντων, ἢ διατίθησιν ἢ διατίθεται, ἀλλὰ τὰ πεφυκότα, καὶ ὑπὸ τῶν πεφυκότων. ἢ ἡ θέλησις, ἢ ἡ προσπάθεια, ἣν τὸ διατιθέμενον πρὸς τὰ διατιθέντα πέφυκεν ἔχειν, ἧς ἡγεμὼν τὸ λογιζόμενον ὑφιδρύσθαι τέτακται τῷ δημιουργῷ, παρ' οὗ καὶ τοῖς διατιθεῖσι τὸ διατιθέναι, καὶ τοῖς διατιθεμένοις τὸ διατίθεσθαι, καὶ τῷ ἡγεμόνι νῷ, τὸ κρίνοντα, θάτερα αἱρεῖσθαι ἢ θάτερα. τάδε μὲν ἀπταίστως, καὶ μετὰ τοῦ ὀρθοῦ λόγου ἅτε προσπαθείας ἐκτὸς, καὶ τῇ πρὸς τὸ οἰκεῖον ἀξίωμα μόνον ἐπιστροφῇ· ἐκεῖνα δ' οὐκ ἀπταίστως, οὐδὲ μετὰ τοῦ ὀρθοῦ λόγου, οὐδὲ προσπαθείας ἐκτὸς, οὐδὲ μετὰ τοῦ πρὸς τὸ οἰκεῖον ἀξίωμα μόνον ἐπιστρέφειν, ὡς θέμις. οὐ γὰρ μετὰ τὸ τοῦ ὄντως ἀγα-

cere. Nisi temere quis adeo langueat atque amens sit, ut muneris ordinem in sese permutet, ac parere jubeat, quod imperare debebat, idque vicissim cujus erat obedire, imperans constituat, & proinde domino servi, servo autem domini partes inepte det. Quare mens hoc non facit, quatenus res externas sequitur, sed quatenus sibi ipsi paret, & a rerum externarum affectione ac dispositione principatum suum libertatemque tuetur. Quodsi causam, cur afficiantur res, ad res afficientes per se consideratas non retulerit, sed ad quandam intervenientem utrisque vim, secundum quam aliæ afficiant, aliæ afficiantur, quæ forte Plethonis sententia est, ut fatum ita furtim simul introducat: Primo, quod est in quæstione, sumit pro confesso. Deinde, si ejusmodi quadam vi & afficiunt res & afficiuntur, cur eandem fatum esse dices, & non potius vel naturam ejus rei quæ afficit & afficitur, a qua utrinque id habeant, ut vel afficere possint vel affici: Non enim omnia, nec ab omnibus aut afficiunt aut afficiuntur, sed quæ natura ad utrumque comparata sunt. Vel etiam inclinationem aut propensionem, quam natura rei affectæ erga afficientem ingeneravit, & cui mentem tanquam ducem præsidere voluit opifex. A quo sane rebus afficientibus id est, ut possint afficere, & affectis ut afficiantur, atque menti imperanti, ut judicando alterutrum queat eligere. Alia quidem absque vitio & cum recta ratione, quæ sine perturbatione animi, & consulta unice propria auctoritate eligit: alia vero non sine vitio, neque cum recta ratione, aut absque commotione animi, consultaque unice propria auctoritate, ut fieri par erat. Neque enim eliguntur hæc cum veri

ἀγαθοῦ κρίσεως, ἀλλὰ μετά τινος ἀμυδρᾶς φαντασίας τοῦ ἀγαθοῦ. οὐδὲ γὰρ οὐδὲ τῶν φαύλων οὐδὲν οὐδεὶς αἱρεῖται, ἄνευ οἱασοῦν τοῦ ἀγαθοῦ φαντασίας, εἰ καὶ πεπλανημένη τίς ἐστιν αὕτη, παρά τε τὴν θέλησιν καὶ προσπάθειαν, τοῦ ἡγεμόνος τῷ ἰδίῳ ἀξιώματι κατ' αὐτῶν μὴ χρωμένου, ᾗ θέμις ἦν χρῆσθαι· ὡς ἔμελλεν ἂν ἥ τε προσπάθεια ἐξορίζεσθαι, καὶ ἡ θέλησις τοῦ ὄντως ἀλλὰ μὴ τοῦ φαινομένου γίνεσθαι ἀγαθοῦ, καὶ τὸ κυρίως ἡδὺ ζητεῖν, ἀλλὰ μὴ ᾧ τὸ τοῦ ἡδέος ἀμυδρόν τε καὶ πεπλανημένον ἐνθεωρούμενόν ἐστιν ἴνδαλμα. διατί οὖν οὐχὶ ἤτοι τούτων τι ἐστὶ, ἀντὶ τῆς εἱμαρμένης, τὸ μεταξὺ τοῦ διατιθέντος καὶ διατιθεμένου· ἢ ὃ καὶ μᾶλλον, ἡ σχέσις, ἣν ἄνθρωπος κατ' ἐξαίρετον λόγῳ τετιμημένος, ἔχειν πρὸς τὰ ἔξω τέτακται πάντα, καθ' ἣν μᾶλλον καὶ δεσπότου τάξιν, ἀλλ' οὐχὶ δούλου ἐν τοῖς οὖσιν ἅπασιν ἔχει· ἢ ἵνα ἀκριβέστερον εἴπω, καθ' ἣν διατιθείη ἂν ὡς ἐπιστήμων πρὸς ἐπιστητόν. ὅπερ ἐστὶ τὸ ἐνεξουσιάζειν τῇ θεωρίᾳ τῶν ὄντων, ὡς ἔχειν ἀπὸ τῶν δημιουργημάτων, πολλῶν ὄντων, καὶ πάντων ποικίλων τε καὶ παγκάλων, πολλὰς ἐν ἑαυτῷ καὶ ποικίλας ἐπιστήμας ἀναλαμβάνειν, πάσας δ' ἀνατείνειν εἰς μίαν ἀπλανῆ καὶ ἄπταιστον ἐπιστήμην, δι ἧς καὶ ἐξ ἧς ἅπασα γνῶσίς τε καὶ κατάληψις. αὕτη δ' ἐστὶ, καθ' ἣν ἔχοιμεν ἂν ἀξίως πρὸς Θεὸν ἀνατείνεσθαι, ἐξ αὐτοῦ τε ἀρχόμενοι, καὶ εἰς αὐτὸν τελευτῶντες, ὡς θέμις· εὐλόγως οὕτως ἀληθευομένου λοιπὸν, ὃ τῷ μακαρίῳ Παύλῳ εἰρημένον ἐστὶ, τοῦ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως τὸν γενεσιουργὸν θεωρεῖσθαι. πᾶσαν γὰρ τὴν ὁρατὴν τήνδε κτίσιν, ὁ δημιουργὸς Θεὸς, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, εἶτα καὶ τὸν ἄνθρωπον διαπλάσας, ὥσπερ βασιλεῖ τὰ βασίλεια προευτρεπίσας, οἷς παραγενόμε-

boni judicio, sed cum obscura quadam persuasione boni. Quandoquidem nemo quicquam eligit pravi, nisi sub qualicunque boni specie, quanquam falsa est propter voluntatis propensionem ac perturbationem. Dum nimirum Imperator sua adversus illa auctoritate ut fieri debebat non utitur: quo scilicet modo posset perturbatio exterminari, & propensio ad verum non fallax bonum dirigi, atque ad genuinam voluptatem ferri, non illam quæ tenuem fallacemque voluptatis præberet speciem. Cur ergo non aut horum quiddam potius quam fatum, medium esse inter res afficientes atque affectas dicendum est, vel quod malim, relatio illa quæ esse debet inter hominem, modo eminenti ratione præditum, atque inter res externas: Secundum quam domini potius quam servi partes illum tueri decet in rerum universitate, vel ut accuratius dicam, secundum quam afficietur, ut sciens erga res quæ sub scientiam cadunt. Hoc est, ut pro arbitrio rerum contemplationem disponat, atque adeo possit rerum creatarum, quæ multæ sunt & variæ pulcherrimæque, multas in se variasque recipere scientias, omnes vero intendere in unam certam stabilemque scientiam, per quam & ex qua omnis sit cognitio atque perceptio. Est vero hæc ejusmodi, ut per eam recte possimus ad Deum evehi, ab ipso petentes principium, & ad ipsum finem dirigentes, ceu fieri par est: Ut adeo eleganter veritas constet illi, quod dixit S. Paulus, ex magnitudine pulchritudineque rerum creatarum, instituta comparatione, opificem conspici. Nam omnem hunc visibilem mundum conditor Deus ex nihilo produxit, ac deinde conformavit hominem, postquam illi tanquam Regi re-

νόμενος ἐπαναπαύσεσθαι ἔμελλεν, δέδωκεν αὐτῇ ἐνεξουσιάζειν, πάντα τε τὰ ἐν αὐτῇ καρποῦσθαι, καὶ ἐκ πάντων ἐπὶ τὸν ποιητὴν ἀνατείνεσθαι, ὥς φησιν ὁ θεῖος ἀπόστολος· τὰ ἀόρατα τοῦ Θεοῦ, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα, καθορῶνται. ὑφήπλωται οὖν ἡ σύμπασα κτίσις, τὸν ἄνθρωπον αὐτῇ ἐνεξουσιάζειν, οὗ χάριν καὶ τὴν ἀρχὴν εἰς τὸ εἶναι παρήχθη. οὐ γὰρ δὴ μάτην ἐστὶ παρηγμένη πως ἡ τοσαύτη καὶ τηλικαύτη. οὐδὲ τοῦ Θεοῦ χάριν. τὸ γὰρ θεῖον ἀνενδεές. ἀλλ' οὐδὲ τῶν ἀγγελικῶν δυνάμεων ἕνεκεν. ἀσώματοι γὰρ αὗται, καὶ σωματικοῦ δεόμεναι οὐδενός. οὐδὲ γὰρ οὐδ' αὐτοῦ τοῦ τόπου, ὅν τινες περιψηφίζωσι τοῖς ἀσωμάτοις, ᾧ περίγραπτοί πως ὄντες, μόνον γὰρ τὸ Θεῖον ἀπερίγραπτον, ἐμπεριλαμβάνεσθαι ἔμελλον. ὁ γὰρ καὶ τοῦ τόπου ποιητὴς, καὶ τῶν ἀσωμάτων οὐσιῶν καὶ ἀΰλων, ἠδύνατο καὶ πρὶν παραγαγεῖν τόπον, τὰς ἀΰλους οὐσίας ὑποστῆσαι, καὶ οὐδὲν ἧττον, καὶ τόπον αὐταῖς δοῦναι, αὐτὸς αὐταῖς, εἰ οὕτω θέμις εἰπεῖν, γενόμενος τόπος. ἐπεὶ οὐδὲ λέγεται κυρίως τόπος ἐπὶ τῶν ἀΰλων οὐσιῶν. σωμάτων γὰρ ὁ τόπος, καὶ τῶν διαστάσεσι μετρουμένων, οὐκ ἀσωμάτων, οὐδὲ διαστάσεων ἀπηλλαγμένων. ἢ τίς ἂν καὶ εἴη γε τοῦ ἀσωμάτου διάστασις; εἴπερ πᾶσα διάστασις ἐν μήκει θεωρεῖται καὶ πλάτει καὶ βάθει, καὶ παρὰ ταύτας οὐκ ἔστιν οὐδ' ἐπινοῆσαι ἄλλην διάστασιν. εἰ οὖν καὶ περιγράφεσθαι λέγονται αἱ ἄϋλοι καὶ ἀσώματοι οὐσίαι, καὶ ἔν τινι καταλαμβάνεσθαι τόπῳ, ἀλλ' οὐ κυρίως ἐπ' αὐτῶν λέγεται ταῦτα, ἀλλ' ἵνα μὴ οὕτως ἔχειν ἀσωμάτως οἰηθῶμεν αὐτὰς, καὶ πάντῃ ἀπεριγράπτως, ὡς πάντα περιλαμβανούσας ἅμα, καὶ πανταχοῦ οὔσας, καὶ πάντα πληρούσας, ὡς τὸ

giam prius adornaverat, in qua adventans requiesceret: Deditque facultatem, qua mundo ut lubitum foret, uteretur, atque ex omnibus in illo rebus commoditates caperet, ex omnibus denique ad opificem erigi posset, ut divus Apostolus inquit: Invisibilis Dei natura ex creatione mundi, hoc est operibus ejus intellecta perspicitur. Mundus ergo universus visibilis expansus est, ut eodem homo pro arbitrio uteretur, cujus etiam gratia sub initium ex nihilo est productus. Neque enim frustra tanta ac talis facta est rerum molitio. Non Dei gratia: Is enim nullius indigus est rei. Sed nec angelorum ergo. Sunt enim incorporales, nullaque re corporea indigent, ne ipso quidem loco, quem nonnulli priorem constituunt incorporalibus: quo circumscripti scilicet, cum solus Deus sit incircumscriptus, deberent comprehendi. Nam qui locum effecit & entia incorporalia ac immaterialia, potuit iis, etiam ante quam locum efficeret, dare subsistentiam, & nihilominus concedere locum, ipse illis, si fas est ita loqui, locus futurus. Nam de substantiis immaterialibus proprie locus non dicitur, qui corporum est, & eorum quæ distantiis metiri decet, neutiquam vero rerum incorporalium & quæ distantiæ sunt expertes. Quæ enim quæso incorporalis sit distantia, siquidem distantia omnis in longo lato ac profundo conspicitur, præterque hæc ne excogitari quidem ulla potest alia. Si igitur circumscribi etiam dicuntur immateriales incorporalesque substantiæ, atque aliquo loco comprehendi, id tamen non proprie de iis dicitur, sed ne illas opinemur ita esse incorporales & undiquaque incircumscriptas, ut omnia simul complectantur, & ubique

sint,

τὸ θεῖον λέγομεν ἔχειν. οὐ γὰρ πανταχοῦ οὐδεμία τῶν ἀΰλων δυνάμεων πάρεστιν, οὐδὲ τὰ πάντα οὐδεμία, ὡς ὁ Θεὸς τὰ πάντα πληροῖ, πανταχοῦ τε ὢν, καὶ οὐδαμοῦ, ὡς οὐ δεόμενος τόπου. οὐδὲ ἀεὶ ἐστιν οὐδεμία, πᾶσα πρεσβύτερον αὐτῆς ἔχουσα τὸ μὴ εἶναι, καὶ ἐκ τούτου εἰς τὸ εἶναι παραχθεῖσα, διὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα. τῷ δὲ ὀξυκινήτῳ, εἰ οὕτω χρὴ φᾶναι, τῆς ἀΰλου φύσεως, ἀσώματος οὐσία πᾶσα, ἐν ἀκαρεῖ πάντα διαθέει τόπον, οὐ διειργομένη οὐδενὶ διαστήματι. ὡς καὶ ὁ ἡμέτερος νοῦς, τὰ γῆς διέρχεται πέρατα, καὶ βυθὸν θαλάσσης ἀνερευνᾷ, καὶ ὕψους οὐρανίου ἐπιβαίνει, καὶ θειοτέρων ἐννοιῶν ἅπτεται· οὐ διειργόμενος οὐδενὶ διαστήματι, ἀλλ' ἀπόνως οὕτω καὶ ἀπαθῶς ὡς οὕτως εἰπεῖν, ἅμα τῷ τῆς φύσεως ὀξυκινήτῳ γινόμενος πανταχοῦ, καίτοι μὴ πανταχοῦ ἅμα ὢν, μηδὲ ἅμα πάντα περιλαμβάνων. καὶ οὕτως ἔν τε τόπῳ πᾶσα ἄϋλος οὐσία λέγεται εἶναι, καὶ αὖ οὐ δεῖσθαι τόπου πρὸς τὸ εἶναι. ὅτι μὴ ὡς τὰ ἐν τόπῳ ὄντα, οὐδεμία ἄϋλος οὐσία ἐστίν. οὐ δὴ οὖν οὐδὲ τῶν ἀγγελικῶν δυνάμεων ἕνεκεν, ἡ ὁρατὴ κτίσις ἐστὶ παρηγμένη. οὐ γὰρ ἀπὸ ταύτης ἐπὶ τὸν ποιητὴν ἔμελλον ἀνατείνεσθαι, νόες οὖσαι, καὶ νοερῶς ἀεὶ ἑνούμεναι τῷ Θεῷ, σωματικοῦ παντὸς πάθους ἐκτός. ἀλλ' οὐδὲ χάριν τῶν μὴ μετεχόντων νοῦ αἰσθητῶν παρηγμένη ἂν εἴη ἡ ὁρατὴ κτίσις, καίτοι καὶ αὐτῶν πῇ ἐφιεμένων τοῦ ἀγαθοῦ, καὶ τῆς θείας ἀμηγέπη μετεχόντων ἀγαθότητος, ἐπεὶ μηδὲν ὅλως τῶν ὄντων, ὃ τῆς τοῦ Θεοῦ ἀγαθότητος ἀμοιρεῖ. οὐ γὰρ θεωρητικὰ τὰ μὴ μετέχοντα νοῦ, αἰσθήσει ζῶντα μόνον, καὶ ὁρμῇ κινούμενα φυσικῇ, καὶ οὐδενὸς ὑψηλοτέρου οἷά τε ὄντα

ἀν-

ſint, atque omnia impleant, qualem Dei eſſe naturam dicimus. Nullum enim ens incorporale ubique præſens eſt: nullum implet omnia præter Deum, qui & ubique eſt, & nuſquam eſt, quatenus loco non eget. Neque ullum eſt ſempiternum, ſiquidem omnibus nihilum anteceſſit, ex quo divina bonitate facta ſunt aliquid. Sed quoniam ens incorporale id habet a natura immateriali, ut celeriter quaſi moveri poſſit, fit, ut in puncto temporis omnem locum percurrat, nullo interſtitio diremtum. Quemadmodum & mens noſtra terræ fines permeat, & maris inveſtigat fundum, & ad cœli faſtigium aſcendit, & divinas ſcrutatur cogitiones, nullo impedita intervallo, ſed quaſi abſque labore atque moleſtia, ſumma ſua agilitate ubique vagata, licet non ſit ſimul ubique, nec omnia ſimul comprehendat. Ita ergo omnis ſubſtantia immaterialis dicitur eſſe in loco, rurſus autem loco non indigere ut exiſtat, ſiquidem nullius ſubſtantiæ immaterialis par eſt ratio, atque eorum quæ in loco ſunt. Quare nec angelorum gratia mundus viſibilis eſt productus. Non enim per hunc poterant ad Deum evehi, qui mentes erant, & mentaliter ſemper, atque procul ab omni affectione corporea, erant cum Deo conjuncti. Sed neque ſenſilium ergo, quæ mente vacant, viſibilis hic mundus poteſt eſſe productus, quanquam illa quoque aliqua ratione appetunt bonum, & divinam quodammodo bonitatem participant, ſiquidem nihil in univerſum rerum eſt, quod ejus expers ſit. Nam quæ vacant mente, apta non ſunt ad contemplandum, ſenſu autem vivunt unice, & impetu naturali moventur, neque poſſunt quicquam

ἀντιλαμβάνεσθαι. οὐδ' ἑαυτῆς χάριν. οὐ γὰρ δή, οὐδὲ αὐτὴ καθ' αὐτήν, τοῦ ἀγαθοῦ θεωρητική, ἀλλὰ διὰ νοῦν, καὶ τὰ μετέχοντα νοῦ· καθ' αὐτὴν δὲ ἄνους καὶ ἀκίνητος πρὸς πᾶσαν ἐνέργειαν νοεράν. εἰ γὰρ καὶ πάντα τὰ ἔργα κυρίου τὸν κύριον εὐλογεῖ, ἀλλ' οὐ καθ' αὐτά. οὐ γὰρ πάντα θεωρητικά. ἀλλὰ διὰ τὰ νοῦ μετέχοντα, καὶ νοοῦντα, καὶ τῇ ἀπὸ τῶν ἔργων τοῦ θεοῦ θεωρίᾳ, ἐπὶ τὸν ποιητὴν τῶν ἔργων ἀνατεινόμενα, καὶ δι' ἕκαστον τῷ θεῷ τὴν εὐλογίαν καὶ τὸν ὕμνον ἀφοσιοῦντα. εἰ οὖν μήτε μάτην ὑπὸ τοῦ θεοῦ ἡ ὁρατὴ δεδημιουργῆται κτίσις, μήτε δι' αὐτόν, μήτε διὰ τὰς ἀγγελικὰς οὐσίας καὶ φύσεις, μήτε διὰ τῶν αἰσθητῶν τὰ μὴ μετέχοντα νοῦ, μήτε δι' αὐτήν, τί τὸ λοιπόμενον; ἢ δηλονότι ὃ τῶν αἰσθητῶν, τὸ αὐτὸ μετείληφε καὶ νοῦ. τοιοῦτον δὲ οὐδὲν ἄλλο, ἢ ἄνθρωπος μόνον. εἰ δὲ διὰ τὸν ἄνθρωπον ἡ κτίσις, βέλτιον δὲ καὶ τιμιώτερον, τὸ δι' ὃ ἕτερον γίνεται, τοῦ δι' ἄλλο γινομένου, βελτίων ἄρα τῆς ὁρατῆς ἁπάσης κτίσεως ἄνθρωπος, οὐκ ἂν ἦν τὸ ἄμεινον ὑπὸ τοῦ χείρονος ἄρχοιτο· ἀλλ' ἀνάπαλιν, ὑπὸ τοῦ ἀμείνονος, τὸ χεῖρόν τε καὶ καταδεέστερον. ἄρχοι οὖν τῆς αἰσθητῆς ἁπάσης κτίσεως ἄνθρωπος. δῆλον δέ. καὶ γὰρ ἡ πᾶσα κτίσις ὡς βασιλεῖ τῷ ἀνθρώπῳ δωροφορεῖ. οὐρανός, ἀήρ, ὕδωρ, γῆ, τὰ ἐν αὐτοῖς ἅπαντα, ἀστέρες, πετεινά, ἰχθύες, ζώων ἄλλων καὶ φυτῶν διάφορα γένη. ἡ κοινὴ χρῆσις ἁπάντων, ἡ ἑκάστου ἰδιάζουσα. τὰ πάντα τὴν δι' αὐτῶν εἰς τὸν δεσπότην ἐπιστροφὴν καὶ ἀναγωγήν. οὐδὲν γὰρ οὗ οὐ λογισμῷ ἄνθρωπος

ἐπι-

quod se sit sublimus, percipere. Nec est quoque sui ipsius causa mundus creatus, quoniam ipse per se aptus non est ad bonum cognoscendum, sed per mentem & mente prædita; per se vero mente vacat, & iners est ad omnem intelligendi actionem. Quanquam enim omnia opera Domini laudant Dominum, tamen id per se non faciunt, nec enim omnia sunt idonea ad contemplandum, sed per mente prædita & intelligentia: Dum nimirum consideratione operum divinorum ad opificem eorum agnoscendum eriguntur, & propter singula Deo laudes hymnosque consecrant. Si igitur neque frustra visibilis a Deo ædificatus est mundus, neque propter ipsum Deum, neque propter angelicas substantias naturasque, neque propter sensilia & mentis expertia, nec sui denique ipsius causa: quid reliquum est, nisi quod inter sensilia particeps quoque est mentis, id quod in neminem nisi hominem solum convenit? Sit ergo universus visibilis mundus solius hominis ergo productus. Si autem hominis ergo, id vero melius est & excellentius, cujus causa aliud fit, quam id quod fit propter aliud, sequitur, homine in mundo visibili nihil esse melius. Quare melius deteriori parere nequit, sed contra deterius & imperfectius debet parere praestabiliori. Necesse ergo est, hominem universo mundo sensili imperare. Eique rei argumento est, quod omnes res creatæ homini tanquam Regi dona offerant, cœlum, aer, aqua, terra, & quæ illis continentur omnia, stellæ, aves, pisces, reliquorum animalium & plantarum varia genera. Communis est omnium usus, & singulorum privatus: Omnia efficiunt, ut per ipsa homo ad Dominum convertatur & perducatur.

ἐπιβαίνει, κἂν τὸ πάντων ὕψιστον τὸ οὐρανὸν, κἂν τὸ βάθος εἴπης γῆς καὶ θαλάσσης. ἀλλὰ πάντων τε ἀντιλαμβάνεται, καὶ διὰ πάντων ἐπὶ τἀγαθὸν ἀνατείνεται· οὐδὲν δ' ἧττον καὶ δι' αὐτοῦ, ὅπερ οὐδενὶ τῶν ἄλλων ἐστὶν ἐνθεωρούμενον. μόνος γὰρ ἄνθρωπος τῶν ἄλλων τε καὶ ἑαυτοῦ θεωρητικὸς, ὅτι δὴ καὶ μόνος λόγῳ καὶ ψυχῇ τετίμηται νοερᾷ· καθ' ἣν εἰ οὕτω χρὴ φάναι, πρὸς τὸ θεῖον ἀμηγέπη συγγενῶς ἔχων, τἄλλα καὶ ἑαυτὸν ἔχει κατανοεῖν, ἐξ ἑαυτοῦ κινούμενος κατὰ νοῦν, καὶ εἰς ἑαυτὸν ἐπιστρέφων, κἀντεῦθεν ἐπὶ τὸν ποιητὴν καὶ δεσπότην ἀνατεινόμενος, καὶ τὴν αὐτοῦ γνῶσιν θαυμάζων, ὡς ἐξεῖναι λέγειν· ἐθαυμαστώθη ἡ γνῶσις σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. ὅπερ ἐπ' οὐδενὸς τῶν ἄλλων εἰρημένον ἐστὶν, οὐδ' ἐπ' αὐτοῦ τοῦ πάντα τῷ μεγέθει τε καὶ σχήματι περιλαμβάνοντος οὐρανοῦ. οὐ γὰρ ἀπ' οὐδενὸς τῶν ἄλλων οὕτως ἡ τοῦ θεοῦ γνῶσις θαυμάζεται, ὡς ἀπὸ τῆς καταλήψεως τῆς ἀνθρωπίνης, διαπλάσεως, καὶ κατασκευῆς· φύσεων, ὡς οὕτως εἰπεῖν, ἐν αὐτῷ συνδεδραμουσῶν ἐναντίων, ἐπικήρου καὶ θείας, ταὐτὸν δ' εἰπεῖν αἰσθητῆς τε καὶ νοητῆς. τῆς δ' αὖ νοητῆς, τῆς αὐτῆς τελούσης καὶ νοερᾶς, καθ' ἣν ἑαυτήν τε καὶ τἄλλα νοεῖ, καὶ θεῷ ἑνοῦται, καὶ θεία χρηματίζει ὡς ἀληθῶς· πάντως, ὡς οὐδενὸς τῶν ἁπάντων, τῆς ἀνθρωπίνης ἐφικνουμένου μεγαλειότητος. εἰ οὖν τοιοῦτον ἄνθρωπος, καὶ οὕτω πρὸς τὴν ἱερατὴν ἔχων ἅπασαν κτίσιν; πῶς ἂν λοιπὸν ὑπὸ τῆς κτίσεως ἄρχοιτο; πῶς δ' ἂν τὸ εὔλογον ὁ Πλήθωνος ἔχοι λόγος, ἄρχεσθαι τὸ ἐν ἀνθρώπῳ φρονοῦν ἀποφαινόμενος, τῷ τοῖς ἔξω φαίνεσθαι πράγμασιν ἕπεσθαι; εἰ μὴ καὶ τὸν στρατηγὸν ὑπὸ τῶν τάξεων ἄρχεσθαι φαίη, ὡς ἔχουσιν αἱ τάξεις θεωροῦντα, κἀντεῦθεν ἐπι-

Nihil enim intactum cogitatione relinquit homo, ne si altissimum quidem omnium cœlum, si profundum dixeris terræ atque maris. Sed omnia mente percipit, & per omnia ad summum bonum erigitur; nec minus etiam per se ipsum, quod in alia re nulla usu venire videmus. Solus enim homo & alia potest & se ipsum contemplari, quandoquidem solus est ratione & anima intelligente ornatus, secundum quam quandam quasi cum Deo cognationem habens, non alia solum sed & se ipsum considerat: ex sese commotus secundum mentem, & in sese conversus, & inde ad opificem & dominum evectus, ejusque admiratus cognitionem, ut dicere liceat: Mirabilior est mihi scientia tua quam ut fallam, edita est & non possum prævalere illi. Quod de alio nullo dictum est, ne de cœlo quidem, qui omnia magnitudine & forma sua complectitur. Nihil enim ita admirari cognitionem Dei potest, quam homo sua apprehensione, conjunctione specierum, & ratiocinatione: Concurrentibus quasi in ipso contrariis naturis, caduca & humana, seu quod eodem redit, altera quæ sensu, altera quæ intelligentia percipi potest. Quarum hæc quidem pro eadem censenda ac intelligente, quæ & se ipsam & alia intelligit, & cum Deo jungitur, ac vere divina nominatur, & magis quam aliud quicquam humanam assequitur magnificentiam. Si igitur talis est homo, eaque ejus est erga visibilem mundum universum ratio, quomodo possit parere rebus creatis, quomodo etiam veritatem Plethonis ratio tueatur, dum mentem humanam parere declarat, quod res externas sequi conspiciatur? Nisi quis Imperatorem quoque ordinibus parere dixerit, dum lustrat eos, atque inde excitatur ad victoriæ finem fru-

ἐπὶ τὸ τῆς νίκης ἀναγόμενον τέλος καὶ τἀγαθόν. ἀλλ' οὔτε ὑπὸ τῶν τάξεων ὁ στρατηγὸς ἄρχεται, εἰ καὶ παρὰ τὸ εὖ τε καὶ μὴ τὸ τῶν τάξεων, τὸ εὖ τε καὶ ὡς ἑτέρως ἔσθ' ὅτε πράττειν τὸν στρατηγόν· οὔτε ὑπ' οὐδενὸς τῶν κατὰ τὴν ὁρατὴν κτίσιν, τὸ κατὰ τὸν ἄνθρωπον λογιζόμενον καὶ φρονοῦν, εἰ καὶ αὐτὸ μὴ προσῆκον ἐνίοτε, τοῦ ἰδίου ἑκουσίως ἀξιώματος ὑποκαταπίπτει, οἷς οὐ θέμις τῆς καταδυναστείας ὑπεξισάμενον. ὃ καὶ Μωυσῆς ἐδήλωσεν, ὡς ἐκ προσώπου τοῦ Θεοῦ λέγων· ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν ἑρπετῶν, τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. εἰ γὰρ τιμιώτερον τοῦ ἀψύχου τὸ ἔμψυχον, καὶ τοῦ μὴ ζῶντος τὸ ζῶν, τὴν ἀρχὴν δὲ τῶν τιμιωτέρων ἐπέτρεψεν αὐτῷ, δῆλον, ὅτι περὶ τούτων, καὶ πολλῷ μᾶλλον, τὴν τῶν ἧττον τιμίων, οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξύ, οἷς ἐνδιαιτᾶται τὰ ζωῆς μετέχοντα καὶ τοῦ ζῆν. οὐρανοῦ δὲ τὸν ἄνθρωπον ἀκούσας ἄρχειν, μὴ ξενισθῇς. πρῶτον μὲν οὐρανοῦ ἐνταῦθα τοῦ ἀέρος φανερῶς λεγομένου. ἔπειτα δὲ καὶ αὐτοῦ τοῦ οὐρανοῦ, ἀψύχου τε ὄντος, καὶ καθ' αὐτὸν οὐδὲν τῶν ἄλλων τῇ τιμῇ διαφέροντος. εἰ δὲ δεσμεῖται καὶ καταδυναστεύεται ἄνθρωπος οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θηρίοις, καὶ στοιχείων ποιότησι, καὶ ὡρῶν μεταβολαῖς, καὶ πᾶσιν ἁπλῶς, οὐκ ἄν τις τοῦτο τεκμήριον δικαίως θεῖτο, τοῦ ὑπὸ τῶν ἔξω πραγμάτων ἄνθρωπον ἄρχεσθαι. τοῦ σώματος γὰρ ταῦτα, ὅπερ οὐ κυρίως ἄνθρωπος. τὴν δὲ ψυχήν, ἣ μόνη κυρίως ἄνθρωπος, καὶ μάλισθ' ὅτε κατὰ λόγον καὶ νοῦν ἐνεργεῖ, οὔτ' ἂν δῆσαι τῶν ἁπάντων οὐδέν, οὔτε καθείρξειεν ἄν, οὔτε βιασάμενον τοῦ καθήκοντος ἐξαγαγεῖν δυνηθείη. ἀλλὰ τὸ οἰκεῖόν τε ἀξίωμα ἐν πᾶσι διατηρήσει, καὶ ἐκ πάντων ἐλευ-

θέρα

ctumque impetrandum. Sed nec ordinibus paret Imperator, quanquam ex eo, num bene sint instructi an minus, felicitas aliquando Imperatoris pendeat & infelicitas: Neque quod in homine intelligit & ratiocinatur cuiquam est subjectum inter res visibiles creatas, licet id ipsum quoque aliquando, ut neutiquam consentaneum erat, sponte excidat sua autoritate, iis quibus minus par erat, suo principatu cedens. Quod & Moses significavit, cum Dei nomine dicit: Imperent piscibus maris, & avibus cœli, & reptilibus omnibus repentibus super terra. Nam si præstabilius est animal inanimo, & vivens non vivente, homini vero in præstabiliora imperium concessit, manifestum est, quod & multo magis in minus præstantia, cœlum & terram, & quæ his interjacent, in quibus habitant, quæ vita fruuntur & vivendi actu. Dum autem cœlo imperare hominem audis, ne mireris. Primo enim aer hicce, ut constat inter omnes, cœlum vocatur. Deinde cœlum ipsum inanimum est, ac reliqua per se nihil antecellit dignitate. Si vero constringitur homo & subigitur, non modo ab hominibus, sed & belluis, aut elementorum qualitatibus, & mutationibus temporum, omnibus denique generatim, inde quidem nemo jure capiat argumentum, hominem parere rebus externis. Sunt enim hæc corporis, quod proprie homo non est. Animam vero, quæ sola proprie homo est, præsertim ubi secundum rationem mentemque agit, neque constringere quicquam, nec coercere, nec vi abducere potest ab officio. Sed propriam hæc in omnibus servabit auctoritatem, atque ex omnibus libera evadet. Quin vel eo magis elucebit propriæ libertatis majestas, quo

θέρα διαγενήσεται· καὶ τοσούτῳ μᾶλλον διαλάμψει τὸ τῆς ἰδίας ἐλευθερίας ἀξίωμα, ὅσῳ μείζονί τε καὶ χαλεπωτέρᾳ βίᾳ περιπεσεῖται. ἐν πᾶσι γὰρ εὐχαριστήσει, καὶ κύριον τὸν Θεὸν αὐτῆς προσκυνήσει, αὐτῷ τε μόνῳ λατρεύσει, καὶ αὐτῷ ἔσται δουλείαν ἀπονέμουσα τὴν ὀφειλομένην. οὐκοῦν οὐδενὶ τῶν ἔξω δουλεύσει, κἂν στοιχείου φαίης ποιότητα, κἂν ὡρῶν μεταβολὴν, κἂν θηρίον, κἂν τύραννον, κἂν βασιλέα, κἂν ἀνδραποδιστὴν, κἂν ὁτιοῦν τῶν ἁπάντων· ἀλλ' ἐκ πάντων τε ἐλευθέρα ἔσται, αὐτή τε ἑαυτῆς ἄρξει, καὶ θεόθεν ἀρχθήσεται, ἀξίως τῆς ἰδίας ἔχουσα φύσεως. διατεθήσεται δὲ πρὸς τὰ ἔξω, ὡς διατίθεσθαι αὐτὴν ὁ λόγος φθάσας ἀπέδειξεν. γινώσκουσά τε τὰ ὄντα, ὡς ἐφικτὸν, καὶ διὰ τῶν ὄντων ἑκάστου κατανοοῦσα τὸν ποιητήν. καὶ πρὸς μὲν τὴν ἑκάστου τῆς φύσεως θεωρίαν καὶ κατανόησιν, ἄλλη πρὸς ἄλλην διαφόρως ἕξει, συμβὰν οὕτω χεῖρον ἢ ἄμεινον, παρά τε φύσιν, ὥς φησι Πλήθων, καὶ ἄσκησιν. ὧν τὴν μὲν θεόθεν εἶναι, τὴν φύσιν, τὴν δ' ἄσκησιν, ἐκ τῆς τοῦ ἀσκητέως προσγίνεσθαι δόξης, προτέρας τῳ ἐγγενομένης. δεῖ γὰρ ὁμολογουμένως πρὸς τὴν ἑκάστου τῆς φύσεως κατάληψιν, καὶ ἀσκητέως ἡμῖν, ἃ προμεμάθηκεν ἐκ διδάσκοντος. ἧς καὶ αὐτῆς δηλαδὴ τῆς ἀσκήσεως, θεόθεν, ἀλλ' οὐ καθ' εἱμαρμένην ἡ γένεσις, ἔχουσα πρός τε τὸν διδάσκοντα, καὶ τὸν διδασκόμενον, καὶ περὶ οὗ ἡ δίδαξις γίνεται. πρὸς μὲν οὖν τὴν ἑκάστου τῆς φύσεως ἐπιστήμην καὶ κατανόησιν, ἄλλη πρὸς ἄλλην διαφόρως ἕξει ψυχὴ, ὡς εἴρηται, χεῖρον ἢ ἄμεινον. πρὸς δὲ τὸ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ἐπὶ τὸν ποιητὴν ἀνατείνεσθαι, ψυχὴ πᾶσα καθ' ἑαυτὴν ἀδιαφόρως ἕξει, τὸν ἡγεμόνα προβαλλομένη νοῦν, ὃ παντὶ καὶ ὁτῳοῦν ῥᾴδιον, καὶ μηδενός γε ἀσκητέως

quo major erit & gravior, quæ illam invadet, violentia. In omnibus enim gratam se præbebit, & Dominum ac Deum suum adorabit, ipsum solum venerabitur, solum justo prosequetur cultu. Quare nulli serviet rerum externarum, ne si elementorum quidem qualitates, aut temporum mutationes dixeris: Non belluis, non tyrannis, non regibus, non dominis, nulli denique omnium. Sed ex omnibus libera emerget, & ipsa sibi imperabit, ac regetur divinitus, naturæ suæ convenienter. Erga res vero externas ita erit affecta, quemadmodum illam affici supra docuimus: Nimirum ut res, quantum fieri potest, cognoscat, & per singulas, earum opificem contempletur. Ac in contemplando quidem ac perpendendo rerum singularum naturam, non similis omnium erit ratio, pejor, ut contingerit, aut melior, à natura partim, ut ait Pletho, partim a studio & exercitatione. Quarum altera homini tributa est divinitus, natura scilicet: altera ab ea, quam ante habuit exercitator, opinione accedit. Nam præter controversiam, ad singulorum intelligendam naturam exercitatore habemus opus, qui quæ a magistro ante acceperat, tradat. Quæ ipsa quoque exercitatio a Deo, neutiquam autem a fato oritur, tum quod ad docentem spectat, tum quod ad discentem, itemque quod ad id quod discitur. Quare in noscenda ac consideranda natura singularum rerum, non una erit omnium animarum ratio, ut dictum, vel pejor vel melior; omnes vero per se, æqua ratione, ex magnitudine pulchritudineque rerum creatarum, habita proportione, ad opificem erigentur. Modo mentem sequantur ducem, quod unicuique factu est facile, etiamsi nullus interveniat exercitator: cum

τέως ἐνόντος, ἀρκούσης ἀντὶ πάσης ἀσκήσεως, τῆς θείας χειραγωγίας, μόνον εἰ ἕπεσθαι βούλοιτο. ἣν οὐδεὶς τῶν ἁπάντων, ὅτῳ οὐκ ἀῤῥήτως, ἄλλως τε, καὶ διὰ τῶν κτισμάτων παρέχει Θεός. εἰ δὲ ἢ μὴ πᾶσαι ὡς θέμις ἀνάγονται, ἢ μὴ ἐπ' ἴσης ἅπασαι, ἀλλ' αἱ μὲν οὐδόλως, παντάπασιν ἀποπλανηθεῖσαι τοῦ ἀγαθοῦ, αἱ δὲ διαφόρως, ἄλλη ἄλλης καθαρώτερόν τε καὶ τελειώτερον· οὐκέτι τοῦτο οὔτε παρὰ τὴν θείαν χειραγωγίαν, τὰς μὲν ἀναγούσαν, τὰς δὲ μή, ἢ τὰς μὲν μᾶλλον, τὰς δ' ἧττον. οὔτε παρὰ τὴν ἄσκησιν, ἀλλὰ παρὰ τὴν ἑκάστου, ἢ μὴ διεψευσμένην δόξαν καὶ θέλησιν, καὶ τὸ τῆς θελήσεως τὸ συντονώτερον καὶ ἀκμαιότερον, καὶ ἧττον τοιοῦτον· ἢ διεψευσμένην, καὶ τοῦ ἀληθοῦς ἀπενηνεγμένην, τὸ φαινόμενον ἀντὶ τοῦ ὄντος ἀγαθοῦ προτιμῶσαν, καὶ τὰ ῥᾳω τῶν ἐπιπονωτέρων, αἱρετώτερα κρίνουσαν. οὗ μὲν πρόσεστι πόνος, καὶ βραχὺς γοῦν, ὥς τινος τῶν ἀληθῶς λυπηρῶν τε καὶ βλαβερῶν, ἀποπηδῶσαν ἐντεῦθεν· οὗ δὲ τὸ κεκολασμένον ἄπεστι, καὶ μετρίως σωφρονεῖν, ῥᾳστώνη δὲ καὶ ἄνεσις ἐκ τοῦ ἐναντίου, καὶ τὸ ἀκόλαστον ἐξ ἅπαντος τρόπου, ὅσαγε ἐπὶ τῷ φαινομένῳ ἐνθεωρεῖται, τούτῳ δ' αὖ ἐπιπηδῶσαν ὡς ἥδιστά τε καὶ προθυμότατα, οὐδὲν ἧττον χειραγωγοῦ τε ἐφεστῶτος καὶ ἀσκητέως, ὡς εἰ μηδὲν τοιοῦτον τὴν ἀρχὴν ἐφειστήκει. ἀρκεῖ οὖν ἁπάσῃ ψυχῇ πρὸς τὴν ἐπὶ τὸν ποιητὴν ἀναγωγήν, ἀντὶ πάσης ἀσκήσεως, εἰ μόνον ἕπεσθαι βούλοιτο, ἡ θεία χειραγωγία· ἢ μόνοι ἂν οἱ ἀσκητέως εὐμοιρηκότες, ἐπεγίνωσκον τὸν Θεόν, οἷς δὲ πρὸς τοῦτο ἀμηγέπη ἐλλελεῖφθαι συνέβη, ἐν παντελεῖ ἂν ἦσαν τοῦ Θεοῦ ἀγνωσίᾳ. καὶ πῶς τοῦτο πρὸς τῆς τοῦ Θεοῦ δικαιοκρισίας καὶ ἀγαθότητος; πᾶσα οὖν λογικὴ ψυχή, τὴν ἡγεμόνα νοῦν προβαλλομένη, πρὸς τὸ τὸν Θεὸν ἐκ τῶν δημιουργημάτων ἔχειν ἐπιγινώσκειν, ἀδιαφόρως ἕξει, καὶ πᾶσα πρὸς Θεὸν ἀναχ-

θήσε

omnis exercitationis loco, dummodo quis ſequi voluerit, divinus ductus ſufficiat, quem nemini non Deus, tum aliter, tum per res creatas largitur. Quodſi non omnes, ut par erat, ad Deum eriguntur, vel non æqualiter omnes, ſed aliæ quidem plane non eriguntur, aberrantes prorſus a bono, aliæ autem inæqualiter, alia ſcilicet alia purius perfectiuſque: hoc non amplius a divino ductu proficiſcitur, qui has evehat, illas non item, vel has magis, illas minus. Neque ab exercitatione; ſed a cujuſcunque vel recta ſententia ac voluntate, & a voluntatis majori minorive intenſione ac vigore: vel prava & a vero abducta, quæ fallax bonum vero præferat, & facilia potius quam difficilia arripienda judicet: Quæque, in quibus moleſtiam licet brevem ineſſe videt, ab iis tanquam vere pernicioſis & noxiis reſiliat; Contra vero, a quibus abeſt temperantia & moderata continentia, ſegnitiei vero indulgere licet, & inertiæ, ac effuſæ libidini, quæ omnia fallax bonum habet, ad hæc quidem, licet gubernator exercitatorque immineat, nihiloſecius, quaſi nihil horum unquam adfuerit, avide promtoque animo accurat. Quare quævis anima ſatis poteſt divina gubernatione, non minus ac per quamcunque exercitationem, ad opificem ſuum, modo ſequi voluerit, deduci. Aut certe futurum eſſet, ut ii tantum Deum cognoſcerent, qui exercitatore uterentur, quibus vero illum deeſſe contingeret, in ſumma forent Dei ignoratione: Quod qui poſſit cum divina conciliari juſtitia ac bonitate? Quælibet igitur anima ratione prædita, ſi mentem ſequatur ducem, æqualiter poteſt Deum ex operibus cognoſcere, quælibet etiam ad Deum evehetur. Quodſi non omnes evehantur,

θήσεται. εἰ δὲ μὴ πᾶσα ὡς ἐχρῆν ἀνάγεται, ὡς μικρῷ πρόσθεν ἐλέγετο, οὐκέτι τοῦτο κατὰ λόγον καὶ νοῦν, ἀλλ' ἔξω νοῦ τε καὶ λόγου παντελῶς· δουλευούσης ἀναξίως, ὧν ὑπεριδρύσθαι, καὶ ἃ δουλαγωγεῖν ἑαυτῇ τέτακται, τούτων οὕτως ἐχόντων, πῶς εἰρχθήσεται τὸ φρονοῦν, τῷ τοῖς ἔξω φαίνεσθαι πράγμασιν ἕπεσθαι, ἢ τῷ μὴ ὡσαύτως ἅπασιν ἀνθρώποις, τὸ φρονοῦν ὑπὸ τῶν αὐτῶν πραγμάτων φαίνεσθαι διατίθεσθαι; ὁπότε καὶ τούτων οὕτως ἐχόντων, οὐδὲν μᾶλλον, οὐδενὶ τῶν ἔξω, δοῦλον τὸ ἐν ἀνθρώπῳ φρονοῦν, εἰ μὴ θεῷ τε καὶ ἑαυτῷ. πῶς δὲ καὶ ἡ ἀντιτεθεῖσα πρὸς εἱμαρμένην ἐπιχείρησις Πλήθωνι, ὁ καὶ κατ' αὐτὸν Πλήθωνα, τὸ βέβαιον ἕξει, καὶ κατ' αὐτὸν λοιπὸν ἐκ μέσου γινομένης τῆς εἱμαρμένης· εἴγε μὴ ἱκανῶς, μᾶλλον δ' οὐδ' ὁπωσοῦν, ἡ ἀντίθεσις λύεται; μέχρι γὰρ ἂν μὴ ἱκανῶς τὸ ἀντιτιθέμενον λύοιτο, τὸ ὑγιὲς ἔχει μεθ' ἑαυτοῦ. τούτου δ' οὕτως ἔχοντος, μὴ ὑγιαίνειν ἀνάγκη, πρὸς ὅπερ ἡ ἀντίθεσις φέρεται. οὐκ ἔστιν ἄρα εἱμαρμένη, οὐδὲ κατ' αὐτὸν τὸν εἱμαρμένην πρεσβεύοντα Πλήθωνα. περὶ μὲν δὴ τούτων, ἐπὶ τοσοῦτον. τὰ δ' ἐφεξῆς πραγματευόμενα ἢ ἀσεβούμενα Πλήθωνι, ποίαν οὐ παρελαύνει κακίας ὑπερβολήν; ἀνέδην γὰρ λοιπὸν καὶ ἀπαρακαλύπτως, τῆς ἀνάγκης ἐξαρτᾷ τὴν ἐν ἀνθρώποις κακίαν· ἀποφαινόμενος, μὴ κατ' αὐτὸν μηδένα κακύνεσθαι, ἀλλ' ἄκοντας κακοὺς τοὺς κακοὺς ἐξαμαρτάνοντας γίνεσθαι. οὐκ ἀπὸ σκοποῦ τοῦτο ποιῶν, ἵνα κακὸς αὐτὸς γεγενημένος, καὶ τῶν πώποτε κάκιστος, καταφεύγειν ἔχῃ πρὸς τὴν ἀνάγκην, καθ' ἥν, ἀλλ' οὐ καθ' ἑαυτόν, κακὸς γίνεσθαι. εἶτα τῆς ἀνάγκης ἀποδιαιρῶν τὸ ἄρχεσθαι, τοὺς μὲν ἄρχοντι καὶ ὁτῳοῦν πειθαρχοῦντας, ἐλευθέρους ἀποκαλεῖ, τοὺς δὲ εἴκοντας ἀνάγκῃ, τούτους δ' αὖ δούλους κατονομάζει. ἐ-

λευ-

ut par erat, id quidem, ut paulo ante diximus, non amplius secundum rationem fit atque mentem, sed prorsus præter rationem mentemque: dum indigno modo iis serviunt, quibus præesse, & quæ sub suam redigere potestatem debebant. Quæ cum ita sint, quomodo mens fuerit sub imperio, quod res externas sequi conspiciatur, vel quod illam non uno in omnibus hominibus modo, ab iisdem rebus affici videamus? Siquidem, licet hoc verum sit, nulli nihilominus externæ rei serviet mens, nisi Deo & sibimet ipsi. Quidni etiam, quod fato opponitur a Plethone argumentum, vel secundum ipsum Plethonem satis validum sit, cum certe, quantum in ipso est, fatum sit sublatum e medio, quoniam non satis, quin nulla ratione, argumentum dissolvitur. Quamdiu enim non satis dissolvitur objectio, stat ejus veritas. Quod si est, minus valere istud necesse est, contra quod adducitur. Non est ergo fatum, ne secundum ipsum quidem, qui id prædicat, Plethonem. Quare hæc hactenus. Quæ vero deinde comminiscitur Pletho, ac suscipit animo flagitia, quam quæso non superant vel immanem malitiam? Impudenter enim porro atque aperte, vitiositatem hominum ex necessitate dicit pendere, neminemque fieri declarat ex sese improbum, sed malos invitos ad improbitatem atque delicta compelli. Profecto non inconsulte hoc faciens, ut cum ipse nequam sit, quin omnium qui fuere unquam nequissimus, habeat necessitatem, ad quam confugiat, & cujus vi, non vero ex sese, improbum se factum dicat. Deinde imperium a necessitate distinguit, atque imperanti quidem unicuique obedientes, liberos vocat, eos contra qui cedunt necessitati, servos appellat.

λευθέρους τέ φησιν εἶναι τοὺς ἀνθρώπους, καὶ μὴ ἐλευθέρους. οὐ τοῖς αὐτοῖς ἀπονέμων ἄμφω, πῇ μὲν θάτερον, πῇ δὲ τὸ λοιπόν· ἀλλ' ἄλλοις μὲν τὴν ἐλευθερίαν διδοὺς, τὴν δὲ δουλείαν ἀπομερίζων ἑτέροις, καὶ δύο ταύτας ἐν ἀνθρώποις μοίρας ποιῶν, ἐλευθέρων καὶ δούλων, ὡς ἐπὶ ἀριθμοῦ, περιττόν τε καὶ ἄρτιον. φησὶν οὖν, „ ἐλευθέρους δὲ εἶναί τέ „ πως, καὶ μὴ εἶναι. εἰ μὲν γὰρ ἐλευθερίαν τις τὴν οὐκ ἀνάγ- „ κην καλεῖ, οὐκ ἂν ὀρθῶς φαίνοιτο καλῶν. ἀναγκάζοιτο „ γὰρ ἂν δουλείαν τὴν ἀνάγκην καλεῖν. τῇ δὲ δουλείᾳ καὶ „ δεσποτείαν δήπου εἶναί τινα δεῖ, ᾗ δουλεύσει, δουλεία „ οὖσα. τῇ οὖν πρεσβυτάτῃ ἀνάγκῃ, καὶ ἣ μόνη αὐτὴ δι' „ αὐτὴν ἀναγκαίως ἔχει, τὰ δ' ἄλλα ἅπαντα δι' ἐκεί- „ νην, ἣν τἀγαθόν τε αὐτὸ καὶ τὸν Δία φαμὲν, τίς ποτε „ ἔσαι δεσποτεία ᾗ δουλεύσει; οὐ γὰρ που ἡ αὐτὴ, δεσπο- „ τεία ἅμα καὶ δουλεία ἔσαι. τί τις ἂν εἴποι πρὸς ταῦτα· πότερον εἰδέναι Πλήθωνα ἃ λέγει, ἢ ἀγνοεῖν; εἰ μὲν ἀγνοεῖν, ὡς εἰς καλὸν τῆς εἱμαρμένης ἀπώνατο, παραπλησίως ἔχων μαινομένῳ, καὶ μὴ εἰδότι ἃ φθέγγεται· ἐκεῖνα λέγων, ἅπερ οὐχ ὅτι σοφῷ ἀνδρὶ, ἀλλ' οὐδὲ τῷ τυχόντι καὶ ὁτῳοῦν, ἑκών τις ἂν ἐπιτρέψειεν, οὕτως ἔχοντα πάνυ ἀμαθῶς τε ἅμα καὶ ἀσεβῶς. εἰ δὲ εἰδέναι, καὶ τίνα τῶν πώποτε σοφιζομένων, οὐ παρήλασε τῇ κακίᾳ, πρεσβύτης ἀνὴρ, οὕτω σοφιζόμενος ἀπαρακαλύπτως, ὡς παντὶ καὶ ὁτῳοῦν, ἔμελλεν εὐφώρατος εἶναι· μηδ' ἐπιχρωννύων γοῦν τῶν οἰκείων σοφισμάτων τὸ πρόσωπον, ἀλλὰ γυμνὸν οὕτω πᾶσι προδεικνὺς, τὸ τῆς ἑαυτοῦ ψυχῆς πονηρότατον καὶ ἀσεβέσατον προσωπεῖον; ἔξεσι δὲ σκοπεῖν. τίνι γὰρ τῶν πάντων, καὶ ὁπωσοῦν ἔχοντι περὶ λόγους, οὐ κατάδηλα τὰ περὶ τῆς ἀνάγκης καὶ δουλείας αὐτῷ τερατολογούμενα· καὶ ὡς τὸ τῆς δουλείας καὶ ἐλευθερίας ὄνομα ἐσι, τὸ [illegible] πᾶν αὐτῷ δι-

Liberos ergo dicit esse homines, & non liberos: Non ut utrumque tribuat iisdem, alterum hoc, alterum alio respectu; sed ut libertatem aliis, aliis servitutem assignet, atque adeo duo hominum constituat genera, liberorum & servorum, ut numerum solemus in imparem & parem dividere. Dicit igitur,
„ liberos esse homines, & non esse. Nam si eam
„ quis libertatem nominet, quæ non sit necessitas,
„ minus recte ita nominasse videbitur. Cogetur
„ enim necessitatem vocare servitutem. Servituti
„ vero dominatus quidam esse debet, cui ut servitus
„ subsit. At summa necessitas, quæ sola per
„ se est necessaria, cum reliqua per ipsam sint,
„ quamque ipsum bonum & Jovem appellamus,
„ quemnam habebit cui serviat dominatum: Nec
„ enim ipsa temere dominatus simul & servitus erit?
Quid quæso quis dicat ad hæc: Num scire Plethonem quæ dicit, an ignorare? Si ignoret, vide quam pulchre utilitatem capiat ex fato, cum deliranti simillimus sit, neque quid loquatur sciat, ea nimirum dicens, quæ non dicam viro sapienti, sed ne plebejo quidem cuicunque temere quis permiserit: adeo sunt & inscita & impia. Si sciens dixit, quis quæso unquam fuerit tantus cavillator, quem non superet sua malitia homo senex, ita aperte cavillatus, ut ab unoquoque facile possit deprehendi, & ne fucum quidem illinens externis suis sophismatibus, sed nudam omnibus monstrans pessimam illam & improbissimam mentis suæ faciem. Licet vero considerare. Nam cui inter omnes, utut versato in literis, manifestum esse nequit, quam mira nobis de necessitate & servitute narret: quodque servitutis & libertatis nomen omnis ipsi sit origo mali, dum

δεινὸν ἐργαζόμενον, ἀπὸ τῶν δουλευόντων, ἐπὶ τὴν δεσποζόντων ἀνάγκην μετατιθέμενον, οὐ δραστικῶς, ὡς οὕτως εἰπεῖν, ἀλλὰ παθητικῶς λαμβανόμενον; ὡς μὴ εὐπρεπὲς ὂν, τὴν δουλείαν τοῦ ἐπάγοντος λέγεσθαι, ἀλλὰ μόνον τοῦ ὑφισαμένου τε καὶ πως αὐτὴν δεχομένου καὶ ὑπομένοντος. καὶ πῶς ταῦτα οὐκ ἤτοι ἀγνοοῦντος ἃ λέγοι, ἢ ἑκόντος ἐξαπατᾶν πειρωμένου; φησὶ γάρ· εἰ ἐλευθερίαν τις τὴν οὐκ ἀνάγκην καλεῖ, ἀναγκασθήσεται δουλείαν τὴν ἀνάγκην κατονομάζειν. ὡς οὐ δυνατὸν ὂν, οὔτε τὴν ἀνάγκην, καὶ τοῦ ἠναγκασμένου εἶναι καὶ δουλεύοντος, οὔτε τὴν δουλείαν τοῦ ἐπάγοντός τε αὐτὴν λέγεσθαι, καὶ τὴν ἀνάγκην ἐπιτιθέντος· καίτοι σχέσιν τινὰ οὖσαν, μεταξὺ τοῦ ἀναγκάζοντος καὶ ἀναγκαζομένου, ἢ δεσπόζοντος καὶ δουλεύοντος. εἰ καὶ ὅτι μάλιστα ἐπὶ τοῦ δουλεύοντος, τὸ τῆς δουλείας ὄνομα εἴωθε λέγεσθαι, μὴ μέντοι καὶ ἐπὶ τοῦ δεσπόζοντος τὸ αὐτὸ οἰκειότερον κειμένου, ἀπὸ τοῦ δεχομένου τὸ πάθος, ἢ τοῦ ἐπιφέροντος ὀνομάζεσθαι, πρὸς ὃ οἰκείως ἀποδίδοται δεσποτεία· μιᾷ σχέσει, δυοῖν ἀπομερισθέντων ὀνομάτων, ὡς ἐπὶ ἀνόδου τε καὶ καθόδου, ἑνὶ ὑποκειμένῳ δύω τούτων ὀνομάτων· γενέσεως τε αὖ καὶ φθορᾶς καθολικώτερον εἰπεῖν, ἑνί τινι καθολικωτέρῳ, μεταξὺ τοῦ γινομένου καὶ φθειρομένου, δύο τούτων πρὸς διαφορὰν τοῦ γινομένου καὶ φθειρομένου. καίτοι τοῦ τῆς ἀληθείας λόγου βουλομένου, τὴν ἑτέρου φθορὰν, ἑτέρου γένεσιν εἶναι, καὶ τὸ ἀνάπαλιν· ὡς οὕτως ἐνθεωρεῖσθαι τι κοινὸν ἓν μεταξὺ τοῦ γινομένου καὶ φθειρομένου. φησὶν οὖν· ὡς εἰ ἐλευθερίαν τις τὴν οὐκ ἀνάγκην καλεῖ, ἀναγκασθήσεται δουλείαν τὴν ἀνάγκην κατονομάζειν. οὐδὲ τοῦτο γοῦν κατανοῶν, ὅ, τί ποτέ φησι τὸ καταναγκάζεσθαι, καὶ ὡς εἰ καταναγκάζεται, καὶ ἀνάγκην τινὰ δέχεται, ἢ ἀναγκάζεται,

a servientibus ad dominantem necessitatem transfertur, non active ut ita loquar, sed passive acceptum: Quandoquidem non convenit, servitutem illi quoque adscribi qui eandem imponit, sed illi tantum qui sustinet recipit ac patitur. Quæ quidni vel nescientis sint quæ dicat, vel de industria fallere tentantis? Dicit enim: Si quis eam vocet libertatem, quæ non sit necessitas, cogetur necessitatem vocare servitutem. Cum tamen fieri non possit, ut vel necessitas sit ejus qui cogitur & servit, vel servitus ejus qui in eam adducit, & necessitatem imponit: licet sit relatio quædam inter cogentem & coactum, aut dominum & servum. Quanquam enim vel maxime servitutis nomen de serviente dici solet, non tamen æque de domino dicitur: Cum magis consentaneum judicetur, illam ab eo qui recipit affectionem, quam ab eo qui imponit, nomen ducere. Servitutis enim vocabulum proprie dominatui opponitur. Ut adeo uni relationi duo tribuantur nomina, sicut itionem dicimus & reditionem, uni rei duo vocabula subjicientes: vel ut generalius exemplum afferam, ut generationem dicimus & corruptionem, ubi uni rei, communi inter natum & interiens, duo hæc nomina adscribimus, ut distinguatur id quod oritur, ab eo quod interit. Quanquam ratio veritatis docet, unius corruptionem alterius generationem esse, & vicissim: ut ita, quid commune sit inter natum & interiens, possit intelligi. Dicit igitur: Si libertatem quis eam nominet, quæ non sit necessitas, cogetur necessitatem vocare servitutem. Ne hoc quidem reputans, quid sibi velit, cum cogi quempiam dicit, quodque si quid cogitur, etiam necessitatem recipiat, quatenus cogitur & qua coa-

ζεται, καὶ καθ' ἣν ἀναγκαζόμενον πάσχει· πράγματι μὲν μίαν ἐν ἀμφοῖν οὖσαν, ἔν τε τῷ ἀναγκάζοντι, καὶ ἀναγκαζομένῳ, λόγῳ δὲ τῷ παρὰ τὸ ἀναγκάζον τε καὶ ἀναγκαζόμενον διαφέρουσαν. εἶτα προσπερονᾶ τῷ λόγῳ καί τι δοκοῦν ἄτοπον, τὸ τῇ δουλείᾳ δεῖν εἶναί τινα καὶ δεσποτείαν, οὐχ ᾗ δεσπόσει, ἀλλ' ᾗ δεσπόσεται. ἀλλὰ φαίη ἄν τις πρὸς αὐτὸν καὶ κατ' αὐτὸν αὖθις, καὶ μάλα εὐλόγως, ὡς οὐδὲν τὸ κωλῦον ἴσως, καὶ ἐλευθερίαν τὴν μὴ ἀνάγκην καλεῖν, καὶ τὴν ἀνάγκην οὐδὲν ἧττον, μὴ πᾶσαν δουλείαν κατονομάζειν, ἀλλ' αὐτὸ τοῦτο καί τινα ἀνάγκην δεσποτείαν, ᾗ τὸ δουλεῦον δουλεύσει· εἴπερ οὐ πρὸς δοῦλον ἀποδίδοται δοῦλος, ἀλλὰ πρὸς δεσπότην. δεσπότου γὰρ δοῦλος ὁ δοῦλος, ἀλλ' οὐχὶ δούλου, εἰ καὶ τὸ δεσπόζον ἄλλο τι ὂν, δεσπόζειν λέγεται· συνέβη δὲ τοῦτο κατὰ Πλήθωνα λέγεσθαι τὴν ἀνάγκην. εἰ δέ τις ταῦτα μὴ ἀποδέχοιτο, ἐπὶ τοῦ ἑτέρου μόνον ἐκδέξεται τὸ τῆς ἀνάγκης ὄνομα, ἐπὶ τοῦ ἠναγκασμένου, οὐ μέντοι καὶ τοῦ ἀναγκάζοντος. καὶ πῶς οὐκ εἰς ἄπειρον αὐτῷ ἡ ἀναγωγή, ἀεὶ ζητουμένου, ὃ μὴ ἀναγκαζόμενον αὐτὸ ἀναγκάσει; εἴπερ καὶ ἡ ἄφυκτος ἀνάγκη καθ' ἣν πάντα, οὕτως ἀνάγκη ἔσται καλουμένη, ὡς οὐχ ᾗ ἀναγκάσει, ἀλλ' ᾗ καὶ αὐτὴ ἀναγκάζεται. πρῶτον μὲν οὖν οὕτως εὐλόγως φαίη τις ἄν. ἔπειθ' ὅτι καὶ τὸ τῆς δουλείας ὄνομα, κακῶς καὶ οὐχ ὡς ἔδει, λαμβάνεται ἐπ' ἀμφοῖν. λαμβάνεται γὰρ, ὡς παντὶ δῆλον, καὶ ἐπὶ τῶν δουλευόντων, ᾗ δουλεύουσι, καὶ ἐπὶ τῆς ἀνάγκης, ᾗ καὶ αὐτὴ δουλεύει ὁμοίως· καθὸ καὶ εἴρηται, δεῖν αὐτῇ δεσποτείας, ᾗ δουλεύσει. τοῦτο δὲ ἀμήχανον εἶναι καὶ ἄτοπον· δέον ᾗ

μη-

ctum patitur: quæ quidem re una est in ambobus, & eo qui cogit, & eo qui cogitur; verbo, autem ratione cogentis & coacti differt. Deinde tamen affingit huic loquendi rationi aliquod ut ipsi videtur absurdum, scilicet quod servituti debeat quidam dominatus respondere, non quatenus illa dominetur, sed quatenus serviat. Sed dicat quis Plethoni, iterum secundum ipsum, & opportune admodum: Nihil impedire, quo minus eam dicamus libertatem, quæ non sit necessitas, & tamen non omnem necessitatem servitutem nominemus, sed & aliquam necessitatem vocemus dominatum, cui id quod servit serviat. Siquidem servo non respondet servus, sed dominus. Domini enim qui servit servus est, non autem servi: quanquam dominus, utpote qui diversus est, dominari dicitur. Contingit autem hunc, secundum Plethonem, necessitatem debere dici. Quodsi quis hæc non accipiat, de altero tantum intelligi volet nomen necessitatis, de eo scilicet, quod cogitur, non æque de eo quod cogit: Qua ratione quomodo infinitam seriem effugiet, quin semper quæri possit, quid sit, quod ipsum non coactum, alia cogat? Siquidem ineluctabilis quoque necessitas illa, secundum quam omnia sunt, hac ratione necessitas vocanda erit, non quatenus cogit, sed quatenus ipsa quoque cogitur. Primo igitur ita quis merito dicat. Deinde, quod etiam servitutis nomen, male & ut minime par erat, sumatur de ambobus. Sumitur enim, ut cuivis manifestum, & de servientibus quatenus serviunt, & de necessitate quatenus ipsa similiter servit: siquidem illi quoque dominatum respondere debere dicit, cui serviat. Hoc autem fieri non potest, &

μηδόλως ἐπὶ τῆς ἀνάγκης τὴν δουλείαν λαμβάνειν, ἀλλὰ δεσποτείαν ἀντὶ δουλείας, εἴγε μὴ δουλεία πρὸς δουλείαν, ἀλλὰ πρὸς δεσποτείαν ἀποδίδοται ὡς εἴρηται, ἢ μὴ ὡς δουλεύσει τῇ ἀνάγκῃ τὴν δουλείαν ἀποδοῦναι, ἵν' ὅλως καὶ συγχωρήσαιμι. εἴπερ μηδ' ἀνάγκην ἣ ἀναγκάσεται, ἐπ' ἄπειρον γὰρ ἂν ὡς εἴρηται, ἡ ἀναγωγή· ἀλλ' ὡς ἄλλο αὐτὴν οἴσει, ὃ δουλεύσει αὐτῇ. ἐξέσω γὰρ δὴ καὶ τοῦτο εἰπεῖν, κατὰ Πλήθωνα Πλήθωνι ἀποκρινομένῳ. καὶ οὕτω δῆλος ἂν εἴη παρά τε τὴν ὁμωνυμίαν σοφιζόμενος, οὐχ ὡσαύτως ἐπ' ἀνάγκης τε καὶ τῶν ἀνάγκῃ δουλευόντων, οὔτε τὴν ἀνάγκην οὔτε τὴν δουλείαν ἀποδιδούς· μᾶλλον δὲ τὰ διαφόρως λαμβανόμενα οὕτως ἀδιαφόρως ἐκδεχόμενος ἐπὶ διαφόρων, καὶ μάτην ἐγκαλῶν τοῖς μὴ ἀνάγκην τὴν ἐλευθερίαν τιθεμένοις, ὡς δουλείᾳ τε καὶ δεσποτείᾳ ᾗ δουλεύσει, τὴν ἀνάγκην καθυποβάλλουσι. εἰ γὰρ καὶ δοθείη ὅλως, δουλείαν τὴν ἀνάγκην ὀνομάζεσθαι, ἀλλ' οὐχ ᾗ δουλεύσει, ἀλλ' ᾗ δεσπόσει τούτων ὀνομασθήσεται. ὡς καὶ ἀνάγκη, οὐχ ᾗ ἀναγκάζεται, ἀλλ' ᾗ ἀναγκάζει προσαγορεύεται· εἰ καὶ ἐπὶ τῶν ἀναγκαζομένων τὸ αὐτὸ λέγεται, καθ' ἕτερον λόγον, ἡ γὰρ ἀγάγκη, καὶ τοῦ ἀναγκάζοντος καὶ ἐν τῷ ἠναγκασμένῳ ἐστίν. καὶ οὕτως, οὐχ ἡ ἀνάγκη δουλεύσει τε, καὶ δεσπόσεται ἡ αὐτή, εἴγε δὴ πρὸς μὴ ἀνάγκην, τὸ ἐλεύθερον λέγοιτο. εἰ δὲ μηδὲ δουλεία μηδόλως λέγοιτο, τῶν γὰρ δουλευόντων ἡ δουλεία, οὐ τῶν ἐπαγόντων αὐτήν, ἀλλὰ δεσποτεία, ὡς εἴρηται, (εἰ καὶ μικρῷ πρόσθεν συνεχωρεῖτο, καὶ τῶν τὴν δουλείαν ἐπαγόντων, οἷόν τε εἶναι διαφόρῳ λόγῳ αὐτὴν λέγεσθαι, καὶ οὐχὶ τῷ αὐτῷ,)

absurdum est: Cum vel servitus de necessitate prorsus non debeat dici, sed dominatus potius pro servitute poni, siquidem servitus non ad servitutem, sed ad dominatum refertur, ut diximus: aut necessitati servitus non ea ratione tribui, quatenus hæc servire intelligitur, ut omnino ita loqui fas esse concedam. Siquidem non placet eam dicere necessitatem, quæ cogatur, quoniam ut diximus, in infinitum series necessitatis extrahenda esset; sed eam, quam aliud quid ferat, quod ei serviat. Liceat enim ita quoque loqui, dum Plethoni secundum ipsum Plethonem respondemus. Ita igitur est perspicuum, lusisse Plethonem ambignitate vocum, dum neque necessitatis nec servitutis vocabula, eodem modo ad necessitatem & servientes necessitati accommodat, sed quæ varie accipiuntur, ita absque discrimine tribuit diversis, & frustra adeo accusat eos, qui libertatem dicunt non necessitatem, acsi necessitatem servituti, vel dominatui cuidam cui serviat, subjicerent. Nam si vel omnino concedatur, necessitatem posse servitutem nominari, tamen non quatenus servit ita nominabitur, sed quatenus in servitutem redigit & dominatur. Quemadmodum & necessitas ita dicitur, non qua cogitur, sed qua cogit; licet eadem alia ratione dicatur de coactis, quoniam necessitas & cogentis est, & in eo qui cogitur. Atque ita necessitas non simul & serviet & dominabitur, si vel maxime statum necessitate solutum libertatem dixeris. Si vero necessitas plane non vocetur servitus, siquidem hæc eorum proprie est qui serviunt, non eorum qui in servitutum adducunt, sed dominatus ut diximus: (Quanquam paullo ante concedebamus, diverso respectu, etiam de iis, qui in servitutem redigunt, pos-

αὐτῷ,) πῶς λοιπὸν οὐ περὶ δεσποτείαν ἀποδίδοται δουλεία; πῶς δὲ ἡ ἀνάγκη δουλεία ἔσαι, ἀλλ' οὐχὶ δεσποτεία; πῶς δὲ καὶ δεσποτείας ὅλως αὐτῇ δεήσει, ἣ δουλεύσει, δουλεία οὖσα· ἤγε μὴ τοῦτο οὖσα, μηδὲ καλουμένη μηδόλως, ἀλλὰ δεσποτεία μᾶλλον, πρὸς ἣν ἀποδίδοται ἡ δουλεία; ἀλλὰ ταῦτα μὲν οὕτως ἡμῖν ἐξήτασαι, κατὰ Πλήθωνα Πλήθωνι ἀποκρινομένοις, καὶ τὸ τοῦ λόγου ἀκατάλληλον ἐξελέγχουσι, καὶ πάνυ σεσοφισμένον· εἴτε δὴ ἀγνοῶν, εἴτε καὶ ἑκὼν ἐξαπατᾶν πειρώμενος, ταῦτα δὴ τὰ περὶ τῆς ἀνάγκης καὶ δουλείας ἐτερατεύετο. ἡμεῖς δὲ οὔτε τὸ ἐλεύθερον καὶ δοῦλον παραπλησίως αὐτῷ λέγομεν, οὐ γὰρ τῶν ἀνθρώπων τοὺς μὲν ἐλευθέρους εἶναι, τοὺς δὲ δούλους, ἀλλ' ὁμοίως ἅπαντας ἐλευθέρους καὶ δούλους. τοῦτο καὶ τοῦ τῶν ἐναντίων πείθοντος λόγου, εἴπερ τὸ αὐτὸ τῶν ἐναντίων δεκτικὸν παρὰ μέρος. τὸ αὐτὸ δὲ οὐκ εἴδει πάντως, οὐδὲ τῇ διχοτομίᾳ, ὡς ἐτερατεύετο Πλήθων, εἰ καὶ ἔστιν ἐφ' ὧν ἀληθεύεται καὶ ταῦτα, ἀλλ' ἀριθμῷ. ἐλευθέρους μὲν τῷ αὐτεξουσίῳ, καὶ τῷ διασεσωκέναι, τὸ λογικῷ τε καὶ αὐτεξουσίῳ πρέπον ἀξίωμα· δούλους δὲ Θεοῦ τε καὶ ἑαυτῶν, καὶ τοῦτ' αὖθις διὰ τὸ αὐτεξούσιον. ὃν δὴ τρόπον δουλείας ἀγαθὸν ὄντα, καὶ διατηροῦντα ἐν τἀγαθῷ, εἰ ἑαυτῷ τις ὡς προσήκει μὴ διασώσεται, οὔτ' ἀγαθὸς ἂν εἴη, καὶ οὕτως εὐδαίμων τε καὶ μακάριος. καὶ μετὰ τοῦ ἑτέρου τῆς δουλείας γίνεται τρόπου, πικροτάτῳ δεσπότῃ τῇ ἁμαρτίᾳ, ἑαυτὸν ἑκὼν ἐκδιδοὺς, ἀποσχοινίζοντι τῆς εὐδαιμονίας τε καὶ μακαριότητος, καὶ τοῦ ὄντως ἀγαθοῦ. καὶ τοσούτῳ μᾶλλον, ὅσῳ δὴ ἀκόλαστόν τις ἐπιτρέπει διαγίνεσθαι τὸ θυμούμενόν τε καὶ ὀρεγόμενον, μὴ τὸ λογιζόμενον, τὸν δεσπότην, ἐφιστὰς αὐτοῖς παιδαγωγὸν, ὥσπερ καὶ σωφρονιστὴν, ἃ μὲν ποιητέον,

ἐπι-

ſe dici.) Quidni dominatui reſponderet ſervitus, aut cur neceſſitas, ſervitus potius eſſet quam dominatus? Cur denique alium illa poſtularet dominatum, cui cum ſervitus ſit, ſerviat? Siquidem nec eſt ſervitus, neque vocatur ulla ratione, ſed dominatus potius, ad quem ſervitus refertur. Sed hæc quidem ita ſunt a nobis diſputata, dum Plethoni ſecundum Plethonem reſpondimus, atque contradictionem refutavimus & cavillationem orationis: ſive imprudens, ſeu de induſtria fallere conatus, adeo mira de neceſſitate & ſervitute protulerit. Nos autem neque ſervitutem nec libertatem, qualem ille ſtatuit, admittimus. Nec enim alios homines liberos pronunciamus, alios ſervos, ſed ſimiliter omnes & liberos & ſervos. Hoc enim contrariorum ratio ſuadet, ſiquidem in eandem rem contraria cadere poſſunt per partes. Eandem vero dico, non ſpecie ſolum, nec diſtinctione addita, ut Pletho nugatur, quanquam de nonnullis id vere dici poteſt; ſed numero. Liberos quidem appello, dum ſui ſunt arbitrii, eamque quæ ratione prædito & ſui arbitrii homini convenit, tuentur dignitatem: ſervos autem, Dei & ſui ipſius; ſed propterea, quod ita unicuique placuit. Quale genus ſervitutis, bonum ſane & in bono confirmans, niſi quis ut par eſt conſtanter ſervet, neque bonus eſſe poterit, neque felix aut beatus. Alia vero ratione incurret in ſervitutem, dum ſe duriſſimo locarit domino, peccato ſcilicet, quod illum à felicitate, beatitate, veroque bono excludet: Idque vel eo magis, quo magis iræ & cupidini frena laxat, neque dominam illis rationem, tanquam pædagogum & caſtigatorem præficit, quæ quidem quæ facienda ſunt permit-

ἐπιτρέποντα, ὧν δ' ἀφεκτέον, τούτων δ' αὖ ἀποτρέποντα, καὶ ἀποκωλύοντα, ἣ δὴ καὶ ὄντως ἐλευθερία λέγοιτ' ἄν. τὸ δὲ μὴ οὕτω γίνεσθαι τοῦτο, ὡς οὐδὲν δέον, ἐνεξουσιάζειν τὸ θυμούμενόν τε καὶ ἡδόμενον, μὴ τῷ λογιζομένῳ ἡνιοχούμενα καὶ σωφρονιζόμενα, τοῦτο δ' αὖ δουλεία τε, καὶ δουλειῶν ἡ αἰσχίστη τε καὶ κακίστη, καὶ τοῦ ἀγαθοῦ πάντη ἀπαλλοτριοῦσά τε καὶ ἐξάγουσα. οὔτε δὴ τῆς ἀνάγκης οὐδένα δοῦλον ἀποκαλοῦμεν, ἣ νοεῖ τὸ τῆς ἀνάγκης ὄνομα Πλήθων, τὴν αὐτὴν εἶναι εἱμαρμένῃ τιθεὶς, ἣν καὶ πρεσβυτάτην ἀνάγκην ἀποκαλεῖ, καὶ αὐτὴν δι' αὐτὴν ἀναγκαίως ἔχουσαν, τὰ δ' ἄλλα πάντα δι' ἐκείνην, καὶ ἣν τἀγαθὸν αὐτὸ καὶ τὸν Δία φησὶν εἶναι, ἀνοήτως τὰ μὴ ὄντα τερατευόμενος. οὔτε οὖν ἀνάγκης οὐδένα δοῦλον ἀποκαλοῦμεν ἡμεῖς, καὶ τὸν εἰρημένον τρόπον, οὐδένα δοῦλον εἶναι φαμὲν, καὶ αὖ οὐδένα ἐλεύθερον. τῷ μὲν αὐτεξουσίῳ, καὶ κατὰ προαίρεσιν ζῆν, οὐδένα δοῦλον· τῇ δ' ἀρχῇ οὐδένα ἐλεύθερον. μᾶλλον δὲ πάντα μὲν ἐλεύθερον, ἵν' οὕτως ἄμεινον εἴπω, καὶ τῷ αὐτεξουσίῳ καὶ τῇ ἀρχῇ, μόνους δὲ δούλους, ὅσοι τοῦ εὖ, τὸ μὴ εὖ εἵλοντο, καὶ σὺν αὐτῷ ἑκόντες ἐγένοντο. δοῦλοι ἑαυτῶν καὶ τῆς ἁμαρτίας γενόμενοι, τῆς ἀληθινῆς ἀποδιαστήσαντες ἑαυτοὺς δεσποτείας τε καὶ ἐλευθερίας. Πλήθων δὲ καὶ τῇ ἀληθείᾳ πολεμεῖ, τοὺς μὲν ποιῶν δούλους, τοὺς δ' ἐλευθέρους, καὶ οὐ τοῖς αὐτοῖς ἀμφότερα πη ἀποδιδούς. ὧν οἱ μὲν αὐτῷ μεγάλην τῆς ἐλευθερίας εἴσονται χάριν, οἱ δὲ τὰ μέγιστα ἐπαράσονται κατ' αὐτοῦ, τῆς ἀκουσίου δουλείας· μᾶλλον δὲ καὶ ἀμφότεροι, οὐδὲν ὅ, τι οὐκ ἐπαράσονται, τῆς αἰσχίστης ταύτης ἐλευθερίας τε καὶ δουλείας. τῇ τε οὖν ἀληθείᾳ πολεμεῖ, καὶ ἑαυτῷ περιπίπτει, ἐῶ γὰρ λέγειν, ἑαυτῷ αὐτὸν ἀντιφάσκειν· νῦν μὲν ἐκεῖνα λέγων, ἃ τῆς ἀνάγκης ἀποφάσκει τὴν δεσποτείαν,

mittat, a quibus vero abſtinendum, ab iis avertat & repellat. Quæ vera merito diceretur libertas. At ſi ſecus accidit, ut nihil abſit, quin pro arbitrio agant iraſcendi & gaudendi facultates, non gubernatæ aut caſtigatæ ratione, id vero eſt ſervitus, & turpiſſima quidem omnium ac peſſima, & a vero bono abalienans & abducens. Quare nec ſervum quenquam vocamus neceſſitatis, eo ſignificatu, quo vocabulum Pletho ſumit, qui eandem cum fato dicit eſſe: quod & ſummam neceſſitatem vocat, quæ ipſa per ſe ſit neceſſaria, cum reliqua per ipſam ſint, quodque & bonum ipſum & Jovem eſſe dicit, ſtolide quæ non ſunt omnino, commentus. Non ergo quenquam ſervum vocamus neceſſitatis, ac proinde modo jam dicto, neminem vel ſervum vel liberum. Scilicet ratione liberi arbitrii, & poteſtatis agendi cum propoſito, neminem ſervum, contra ab imperio neminem liberum. Vel ut melius dicam, omnes liberos, & ratione liberi arbitrii, & imperii; eos vero ſolos ſervos, qui pravum bono præferunt, & illi ſtudent volentes, ſervi ſui ipſius & peccati facti, ſeque a vera ſejungentes dominatione & libertate. Pletho autem pugnat cum veritate, dum alios ſervos facit, alios liberos, nec utrumque tribuit iiſdem. Quorum quidem alii magnam ipſi habebunt gratiam libertatis, alii vero diris omnibus eum devovebunt, propter involuntariam quam iis imponit ſervitutem. Quin ambo potius quævis imprecabuntur mala, turpiſſimæ hujus & libertatis ergo & ſervitutis. Pugnat itaque cum veritate, nec ſibi ipſi ſatis conſtat. Taceo enim, quod ſibi contradicat, dum ea mox profert, quæ neceſſitati dominatum abjudicant, mox quaſi mutata

νῦν δ' ὥσπερ μεταβαλλόμενος αὖθις, ἐκεῖνα τιθεὶς, ἐξ ὧν ἐξ
ἀνάγκης ἡ τῆς ἀνάγκης δεσποτεία εἰσάγεται. ἐπείπερ ὡς
τὰ πολλὰ τὸ ψεῦδος, οὐ τῇ ἀληθείᾳ πολέμιον μόνον, ἀλλὰ
καὶ ἑαυτῷ. ἀλλὰ δι' ὧν μὲν ἡ τῆς ἀνάγκης ἀποφάσκεται δεσ-
ποτεία, πρότερον εἴρηται· δι' ὧν δὲ αὖθις εἰσάγεται,
ἤδη ῥηθέον. ἔχει δὲ τῇδέ πη· ,, εἰ δ' οὐ ταύτῃ τις ὁρίζε-
,, ται δουλείαν τε καὶ ἐλευθερίαν, ἀλλ' ἐκείνῃ μᾶλλον,
,, τῷ κωλύεσθαι, ἢ μὴ κωλύεσθαι τινα, ζῆν ὡς βούλεται;
,, βούλοιτο δ' ἂν πᾶς τις, πράττειν τε εὖ καὶ εὐδαιμονεῖν·
,, ἅπας μὲν ἂν ὁ εὖ πράττων, κἂν ἐλεύθερος εἴη, ἄν τε
,, ἀρχόμενος ἄν τε μὴ, εὖ πράττων τυγχάνῃ. ὡς γὰρ βού-
,, λεται, ζώη ἄν. κακῶς δὲ πράττων τις, οὔτ' ἂν ὡς
,, βούλοιτο ζώη, οὔτ' ἂν ἐλεύθερος δήπου εἴη. κακῶς
,, δὲ πράττειν ἀνθρώπους, οὐκ ἄλλῃ ἂν ἢ κακοὺς γεγονό-
,, τας. ὥστε οὐδ' ἂν κακὸς ἀνθρώπων οὐδεὶς βούλοιτ' ἂν
,, γίνεσθαι, εἴ γε δὴ μηδὲ κακῶς ἂν πρᾶξαι· ἀλλ' ἄκοντας
,, κακοὺς τοὺς κακοὺς γίνεσθαι ἐξαμαρτάνοντας· οὐδ' ἂν ἐλεύθε-
,, ρον κακῶν εἶναι οὐδένα, τοὺς δὲ καλούς τε μόνους κἀγαθούς.
πρότερον ἔλεγεν, εἰ τὴν ἐλευθερίαν μὴ ἀνάγκην καλεῖ τις, μὴ
ὀρθῶς φαίνεσθαι καλοῦντα· ἀναγκάζεσθαι γὰρ δουλείαν τὴν ἀ-
νάγκην καλεῖν. καίτοι πᾶς ἂν εἶπε δήπουθεν καὶ ὀρθῶς· εἰ
ἡ ἐλευθερία μὴ ἀνάγκη, ἡ ἀνάγκη μὴ ἐλευθερία. παραπλη-
σίως τῷ, εἰ ὁ ἄνθρωπος οὐ λίθος, ὁ λίθος οὐκ ἄνθρωπος. τοῦτο
γὰρ ὁ τῆς ἀντιστροφῆς ἀπαιτεῖ λόγος, ἀλλ' οὐκ ἐκεῖνο· ἡ ἀ-
νάγκη δουλεία. εἰ καὶ φαίη, τῇ μὴ ἐλευθερίᾳ ἕπεσθαι τὴν
δουλείαν. ἡ μὴ ἐλευθερία δὲ πρὸς δεσποτείαν ἀποδίδο-
ται· ὥστε ἡ μὴ ἐλευθερία, πρὸς τὴν ἀνάγκην, ὡς πρὸς
δεσποτείαν ἀποδοθήσεται, ἀλλ' οὐχ ὡς πρὸς δουλείαν, ἣ
φησι Πλήθων τερατευόμενος. εἰ γὰρ καὶ δουλεία ἡ μὴ ἐ-

λευ-

rursus mente, ea ponit, ex quibus necessitatis dominatum induci necesse est: Mendacium enim ut plurimum, non cum veritate solum, sed & secum pugnat. Sed quibus verbis necessitati dominatus abjudicetur, prius dictum est: quibus vero inducatur rursus, jam erit dicendum. Sunt vero hæc hujusmodi. „ Quodsi quis illa ratione non definiat
„ servitutem & libertatem, sed hac potius, prout
„ quis vel prohibeatur, vel non prohibeatur, vive-
„ re ut vult, velit autem unusquisque felix esse &
„ beatus: sequetur, quemlibet cui bene est, libe-
„ rum esse, sive sub imperio, seu absque eodem
„ bene agat. Viveret enim ut vellet. Contra ve-
„ ro infelicem, neque vivere ut velit, nec proinde
„ liberum esse. At infelices aliter homines non
„ sunt, nisi ubi mali fuerint. Ergo neque quis-
„ quam volet malus fieri, siquidem nec infelix es-
„ se; sed mali, inviti in hunc statum redacti, de-
„ linquent, neque malorum quisquam liber erit,
„ sed soli boni probique. Prius dicebat, si eam quis libertatem vocarit, quæ non sit necessitas, minus recte vocasse videri, siquidem cogatur necessitatem servitutem vocare. Quamvis recte quidem unusquisque dixisset: Si libertas necessitas non est, necessitas vicissim non est libertas. Similiter ut concluditur: si homo non est lapis, sequitur lapidem non esse hominem. Hoc enim ratio conversionis postulat. Non autem illud: Ergo necessitas est servitus; etsi dixerit, ex non libertate sequi servitutem. At non libertas refertur ad dominatum: ut proinde non libertas necessitati, tanquam dominatui opponi debeat, non vero tanquam servituti, ut mire philosophatur Pletho. Nam quamquam

λευθερία, ἀλλ' οὐ πρὸς ἑαυτὴν ἀποδίδοται, οὐ γὰρ ἑαυτῆς ἔσαι δουλεία· ἀλλὰ πρὸς τὸ τὴν μὴ ἐλευθερίαν ἐπάγον. τὸ δὲ τοιοῦτον ἤδη, δεσποτείας τάξιν ἐπέχει. ὥσε ἡ ἀνάγκη πρὸς τὴν μὴ ἐλευθερίαν, ὡς δεσποτεία πρὸς δουλείαν ἔξει· οὐχ ἡ αὐτὴ ἅμα δεσποτεία οὖσα καὶ δουλεία, ἀλλὰ δεσποτεία μόνον. ὡς ἡ ἐλευθερία μὴ ἀνάγκη, τῷ μὴ δεσπότην ἔχειν· οὐχὶ ἑαυτὴν, ἀλλὰ μηδέν τι τῶν ἔξωθεν, μηδ' ἂν αὐτὴν ἀνάγκην, ὥς φησι Πλήθων. ἄρχει γὰρ, ἀλλ' οὐ δεσπόζει. ἄλλο δὲ εἶναι τὸ ἄρχειν, καὶ τὸ δεσπόζειν αὖ ἕτερον. πάντα γὰρ δὴ τὰ λεγόμενα, κατὰ Πλήθωνα λέγεται, Πλήθωνι κατὰ Πλήθωνα ἀπαντῶσιν. εἰ οὖν ἄτοπον, τὸ τῇ ἀνάγκῃ, μὴ ἐλευθερίαν ἕπεσθαι, ἥπερ ἔδοξε Πλήθωνι, καίτοι, ὡς ἡμεῖς ἀπεδείξαμεν, οὐκ ἄτοπον· εἴγε δέδεικται, μὴ δουλεία ἀλλὰ δεσποτεία εἶναι ἡ ἀνάγκη, οὐχ ᾗ δεσπόσεται, ἀλλ' ᾗ δεσπόσει· ὃ Πλήθων δεδιὼς, οὐδὲ τὴν ἐλευθερίαν μὴ ἀνάγκην ἐβούλετο λέγειν. εἰ οὖν ἄτοπον τὸ τῇ ἀνάγκῃ μὴ ἐλευθερίαν ἕπεσθαι, οὐ δεσποτεία ἡ ἀνάγκη, ὅπερ ἐν τοῖς πρόσθεν λόγοις ἐλέγετο. νῦν δέ φησιν· εἰ οὕτως ὁρίζεταί τις δουλείαν τε καὶ ἐλευθερίαν, τῷ κωλύεσθαι καὶ μὴ κωλύεσθαί τινα ζῆν ὡς βούλεται, ὅπερ ἐσὶ ταὐτὸν, τῷ ἀναγκάζεσθαι καὶ μὴ ἀναγκάζεσθαι. οὐχ ὑποτιθέμενος ὡς οὕτως εἰπεῖν, τὰ κατὰ τὴν ἐνίων δόξαν· ἀλλ' ἀποφαινόμενος, ὡς ἡ διασκευὴ τοῦ λόγου καὶ διατύπωσις δείκνυσιν. πρὸς γὰρ πολλοῖς ἄλλοις, ὅθεν τοῦτο δῆλον, καὶ ἐπαγωνίζεται τοῖς εἰρημένοις, οὐκ ὀλίγα περὶ τῆς κολάσεως

διε-

non libertas, servitus est, non tamen illa ad se ipsam refertur, siquidem sui ipsius servitus non est, sed ad illud, quod statum libertati contrarium inducit, id quod dominatus officio fungi debet. Ut adeo necessitatis erga non libertatem ea ratio sit, quæ dominatus erga servitutem: non ut eadem simul dominatus sit & servitus, sed dominatus tantum. Quemadmodum libertas est non necessitas, eo quod dominum non habet, non quidem se ipsam, sed nihil rerum externarum, ne ipsam quidem necessitatem, ut ait Pletho. Imperat enim, quanquam non dominatur. Aliud vero est imperare, aliud dominari. Sed omnia hæc quæ dicuntur, secundum Plethonem dicuntur, dum Plethoni secundum Plethonem occurrimus. Si igitur absurdum est, ex necessitate sequi non libertatem, ceu Plethoni visum est. Quanquam, ut nos quidem demonstravimus, absurdum non est, siquidem necessitas ostensa fuit non servitus esse, sed dominatus, non qua dominatui subest, sed qua dominatur: Quod veritus Pletho, ne libertatem quidem eam voluit dicere, quæ non sit necessitas. Si igitur inquam absurdum est, ex necessitate sequi non libertatem, efficitur, necessitatem non esse dominatum, quod & ante dictum fuit. Jam vero dicit: si quis hac ratione finire voluerit servitutem & libertatem, prout quis vel prohibeatur vel non prohibeatur vivere ut vult, seu quod eodem redit, prout cogatur aut non cogatur. Non quidem ponens hæc, quasi secundum quorundam opinionem; sed suam potius declarans, ut structura & compages orationis ostendunt. Nam præter alia multa, unde hoc liquet, ipse insuper defendit dicta, & non pauca persequitur de impro-

διεξιὼν τῶν κακυνομένων, καὶ τῆς ἐπανορθώσεως. εἰ οὖν οὕτω τις ὁρίζεται δουλείαν τε καὶ ἐλευθερίαν φησὶν, ἐλεύθερον μὲν εἶναι, τὸ ὡς βούλεται ζῶντα, πράττειν τε γὰρ εὖ, καὶ εὐδαιμονεῖν· μὴ ἐλεύθερον δὲ, τὸ μὴ ὡς βούλεται ζῶντα, κακῶς τε γὰρ πράττειν, καὶ μὴ εὐδαιμονεῖν. τοῦτο δὲ εἶναι, τὸ κακοὺς γεγονέναι. τὸ δὲ κακοὺς γεγονέναι εἶναι, τὸ μὴ ἑκόντας, ἀλλ' ἄκοντας ἐξαμαρτόντας τοῦτο γενέσθαι. τὸ δὲ μὴ ἑκόντας αὖ εἶναι, τὸ ἀνάγκῃ κακοὺς γενέσθαι· καὶ κατὰ τοῦτο μηδένα κακῶν ἐλεύθερον εἶναι, τοὺς δὲ καλοὺς μόνους καὶ ἀγαθούς. εἰ δὴ ταῦτα οὕτως ἔχει, κακοὶ μὲν οἱ κακοὶ ἀνάγκῃ, καὶ δοῦλοι τῆς ἀνάγκης· ἐλεύθεροι δὲ οἱ ἐλεύθεροι, μὴ ἀνάγκῃ, μηδ' ὡς οὐ βούλονται ζῶντες, ἀλλ' ἀνάγκης ἐκτὸς, καὶ ὡς βούλονται. ὅπερ ἐστὶ, τὸ διὰ μὲν τὰ πρότερα ἀρνεῖσθαι, τὴν ἐλευθερίαν μὴ ἀνάγκην εἶναι· διὰ δὲ τὰ νῦν εἰρημένα, τοῦτ' αὖθις περιίεσθαι. καὶ πῶς ταῦτα οὐχ ἑαυτῷ ποικίλως περιπίπτοντός τε καὶ ἀντιφάσκοντος; εἰ γὰρ οἱ δοῦλοι ἀνάγκῃ δοῦλοι, καὶ οἱ ἐλεύθεροι δήπου ἐλεύθεροι, τῷ μὴ ἀνάγκῃ δουλεύειν. εἰ γὰρ τὸ δοῦλον πρὸς τὴν ἀνάγκην, ὡς δεσπότην, καὶ τὸ μὴ δοῦλον, πρὸς τὴν μὴ ἀνάγκην, ὡς μὴ δεσπότην· ὃ ταυτὸν ἄντικρυς ὡς ἐλέγετο, τῷ οἱ ἐλεύθεροι ἐλεύθεροι οὐ μὴ ἀνάγκῃ, καὶ αὖ οἱ ἐλεύθεροι ἐλεύθεροι μὴ ἀνάγκῃ. καὶ μὴν καὶ ἄλλως ἑαυτῷ περιπίπτει· νῦν μὲν τῆς ἀνάγκης ἐξαρτῶν ἅπαντα, καὶ δεσπότην αὐτὴν ἀποφαινόμενος πάντων, νῦν δὲ τὸ τῆς δεσποτείας αὐτῆς ἀπαλλοτριῶν ὄνομα, ὡς διὰ πολλῶν ἤδη γέγονε δῆλον. καὶ ὃ δὲ λέγειν ἀπέφευγεν, ὡς μὴ ὀρθῶς ἔχον, τὸ τὴν ἐλευθερίαν μὴ ἀνάγκην καλεῖν, εἰς τοῦτο αὖθις ὑπὸ πολλῆς περιηνέχθη σοφίας, ὡς δέδεικται. εἰ ἐκείνη μᾶλλον ὁρίζεται τις λέγων, ἐλευθερίαν τε καὶ δου-

borum supplicio atque correctione. Si quis igitur, inquit, ita definierit servitutem ac libertatem, sequetur, liberum esse, qui vivat ut velit, quoniam bene agat & beatus sit; illum contra non esse liberum, qui aliter vivat ac velit, siquidem male agat & beatus non sit. Hoc vero idem esse, ac improbum esse factum. Sed improbum factum esse, idem velle, ac non sponte sed invitum deliquisse. Rursus, non sponte hoc fecisse, significare nihil aliud, quam ex necessitate pravum factum esse. Proinde malum neminem liberum esse, sed solos bonos probosque. Quæ si ita sunt; mali sunt ex necessitate mali, & servi necessitatis: Liberi vero liberi, non necessitate, dum non ut nolunt, vivunt, sed extra necessitatem, & ut volunt. Quod eodem redit, ac prioribus quidem negare, libertatem esse non necessitatem, iis vero quæ jam dicta sunt, hoc rursus concedere. Quæ quomodo non hominis sint, qui male sibi constat & vario modo contradicit? Nam si servi sunt necessitate servi, efficitur, liberos ideo liberos esse, quod necessitati non serviunt. Si enim servitus ad necessitatem tanquam ad dominum refertur, etiam non servitus ad non necessitatem tanquam ad non dominum referenda erit. Quod idem manifesto est, ut dictum, atque hoc: liberi sunt & non sunt liberi non necessitate. Præterea, alio quoque modo sibi contradicit, dum mox omnium rerum causam tribuit necessitati, eamque dominam declarat omnium, mox dominatus illi nomen denegat, ut multis jam dedimus manifestum. Proinde, quod effugere tanquam minus bene dictum volebat, scilicet ne libertatem, non necessitatem vocaret, in hoc ipsum magna sua revolvitur sapientia, sicut ostensum est. Si quis, inquit, hac potius

ratione

λείαν, τῷ κωλύεσθαι, ἢ μὴ κωλύεσθαί τινα, ζῆν ὡς βούλεται, ὅπερ ἐστὶ, τὸ ἀναγκάζεσθαι καὶ μὴ ἀναγκάζεσθαι· ἃ κατέλυσεν αὐτοὺς, ταῦτα πάλιν ἀνοήτως οἰκοδομῶν. ὅπερ ἴδιον τῶν ἐπ' ἀσφαλοῦς οὐδενὸς βεβηκότων, καὶ διὰ τοῦτο ἄνω τε καὶ κάτω περιπλανωμένων, καὶ τοῖς αὐτοῖς πολλάκις περιπιπτόντων. ὃ καὶ Πλήθων ἐστὶ πεπονθώς· νῦν μὲν οὐκ ὀρθῶς ἔχειν λέγων, εἰ ἐλευθερίαν τις τὴν μὴ ἀνάγκην καλεῖ, νῦν δὲ εἰς τοῦτο περιενεχθεὶς αὐτομάτως. ἀνάγκης ἐκτὸς ἀποφαινόμενος τοὺς ἐλευθέρους ζῆν, ὃ περιφανῶς ἀνάγκην τε καὶ εἱμαρμένην ἀπαλλοτριοῖ τῆς ἐλευθερίας· ὡς καὶ αὐτὸς οἷς λέγει, ἑαυτὸν λεληθέναι, εἱμαρμένην καὶ ἀνάγκην ἐκ μέσου ποιούμενον. εἰ δὲ τὰ αὐτὰ δοκοῦμεν λέγειν πολλάκις, δυσχεραίνειν οὐ χρή. οὐ γὰρ τὰ αὐτὰ λέγομεν μόνον, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν, καὶ πρὸς ἄλλην ἄλλοτε χρείαν. οὐ τῇδε δὲ μόνον δοκεῖ Πλήθων τοῦ ὑγιοῦς διαπίπτειν, ἀλλὰ καὶ τρόπον ἕτερον ἔτι. ἐπαγγέλλεται γὰρ δείξειν, τί μὲν ἐν ἀνθρώποις τὸ δοῦλον, τί δὲ τὸ ἐλεύθερον· ὁ δ' ὑπὸ τῷ ἀντιθέτῳ λεγομένῳ σχήματι, τὸ μὲν δοῦλον, εἰ καὶ μὴ ὡς ἔδει, δεικνύναι δοκεῖ, τὸ δ' ἐλεύθερον ἢ οὐδέλως, ἢ οὐχ ὡς ἔδει οὐδ' αὐτό. οὐ γὰρ καθόλου, ἀλλ' ἐπὶ μέρους, οὐδὲ πρὸς τὸ αὐτὸ, ἀλλὰ πρὸς διάφορον, οὐδ' ὡς ἂν ὑπὸ τῷ ἀντιθέτῳ δεικνύοιτο σχήματι, ἀλλὰ τρόπον ἕτερον, καὶ παντελῶς ἀλλότριον τῆς ἐπαγγελίας. τοῦ γὰρ ἀντιθέτου λεγομένου σχήματος ἴδιον, ὡς οὕτως εἰπεῖν, τὸ ἀναιρούμενόν τι, δεικνύναι τὸ ἀντικείμενον εἶναι. ὃ πολλοῦ δεῖ Πλήθων πεποιηκέναι· ἀναιρῶν μὲν, τὸ ἐλευθερίαν τὴν μὴ ἀνάγκην καλεῖσθαι, οὐκ ἀντιτιθεὶς δὲ οὐδ' ὁπωσοῦν, τί ποτε τυγχάνει ὂν οὔθ' ἡ ἐλευθερία, οὔθ' ἡ ἀνάγκη, ἀλλ' ἀντὶ τούτου ἕτερόν τι με-

ταλαμ-

ratione finiat libertatem & servitutem, prout quis impediatur, aut non impediatur, vivere ut vult, quod idem est ac cogi & non cogi. Proinde quæ ipse diruit, eadem inscite rursus ædificat, quod proprium est eorum, qui certo nullo fundamento nituntur, ac propterea huc & illuc oberrant, & in eadem incurrunt sæpius. Quod & Plethoni accidit, qui quidem mox improbat, si libertas dicatur non necessitas, mox in hoc ipsum sua sponte iterum defertur, dum liberos extra necessitatem declarat vivere, quod aperte necessitatem & fatum a libertate sejungit: ut adeo iis quæ profert, imprudens ipse fatum & necessitatem sustulerit. Quodsi eadem videamur sæpius dicere, id quidem moleste ferre non oportet. Non enim eadem solum dicimus, sed & de iisdem, & ad alium identidem usum. Non autem hoc tantum modo videtur] Pletho a recto aberrare, sed & alio. Pollicetur enim, se ostensurum, quid sit in hominibus servum, quid liberum. Videtur autem, sub contra posito quod dicitur schemate, quid servum quidem sit, quanquam minus ut par erat, ostendere; sed quid sit liberum, vel plane non, vel certe ne hoc quidem ut decebat. Nec enim de omnibus, sed de quibusdam, nec eodem sed diverso respectu, neque ut sub antitheto schemate debebat ostendi, sed alio modo, & eodem, prorsus a promissis diverso. Nam schematis, quod contra positum dicimus, est proprium, ut ita loquar, tollendo aliquid, contrarium ponere. Quod multum abest, quin præstiterit Pletho, qui quidem negat libertatem vocandam esse non necessitatem, nihil vero contra ponit, quid sit vel libertas vel necessitas, sed hujus loco aliud potius assumit, scilicet

ταλαμβάνων, τὸ ἄρχειν τε καὶ ἄρχεσθαι, ὅπερ οὐκ ἐλευθε-
ρίαν ἀλλὰ δουλείαν εἰσάγει. Φησὶν οὖν· εἰ μὲν γὰρ ἐλευθε-
„ ρίαν τις τὴν μὴ ἀνάγκην καλεῖ, οὐκ ἂν ὀρθῶς φαίνοιτο
„ καλῶν. εἶτα ἐπάγει· εἰ δὲ τῷ ἄρχεσθαί τε καὶ μὴ, ὁρί-
„ ζεταί τις τήν τε δουλείαν καὶ ἐλευθερίαν, οὐ μόνον οὐκ ἂν
„ ἀνθρώπων οὐδεὶς εἴη ἐλεύθερος, ἀλλ' οὐδ' ἂν θεῶν ἄλ-
„ λος τις, πλὴν Διός· ἄλλων μὲν ἄλλοις τῷ ἄρχεσθαι δου-
„ λευόντων, ἁπάντων δ' ἀπὸ θεῶν ἀρξαμένων, τῷ κοι-
„ νῷ δεσπότῃ Διΐ. ἆρα καλῶς ἐστιν ἐξυφασμένον αὐτῷ,
τὸ ἀντίθετον οὕτω παρὰ ῥήτορσι καλούμενον σχῆμα· ἢ ὅλως
δοκεῖ δεικνύναι, τί ποτέ ἐστιν ἡ ἐν ἀνθρώποις ἐλευθερία;
καὶ μὴν τοὐναντίον ἅπαν δέδειχε, καὶ τοῦτο οὐχ ἁπλῶς οὕτως,
οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἐκ περιουσίας· οὐ μόνον ἅπαντας
ἀνθρώπους δούλους εἶναι, τῷ ἄρχεσθαι, ἀλλὰ καὶ θεοὺς ἅπαν-
τας, πλὴν Διός. ἀλλ' οὐ τοῦτο τὸ προκείμενον ἦν αὐτῷ, καὶ
ὃ δεικνύναι κατεπηγγέλλετο, ἀλλὰ πῶς μὲν δοῦλοι, πῶς
δ' ἐλεύθεροι οἱ ἄνθρωποι λέγονται. ὁ δ' ὥσπερ ἐπιλαθό-
μενος, ὃ δεικνύειν ὑπέσχετο, τούτου μὲν πέρι, οὐδὲ
ποιεῖται μνήμην σχεδόν· ἀντὶ τούτου δὲ δείκνυσι, τὸ καὶ
ἀνθρώπους καὶ θεοὺς ἅπαντας, πλὴν Διὸς, δούλους εἶναι τῷ
ἄρχεσθαι. εἰ μὴ τοῦτο λέγοι ἐλευθερίαν, τὸ ἀρχόμενον ἄρ-
χειν, ὅπερ ἐστὶ, τὸ ἑτέρου ἄρχοντα, ἑτέρῳ δουλεύειν· ὡς
μηδὲ τὸ ἄρχειν αὐτὸ ἐλεύθερον εἶναι, κατὰ τὸ πρῶτον ἄρ-
χον γινόμενον, καὶ οὐ καθ' ἑαυτό. ὡς ὁ ταξίαρχος καὶ
ὁ στρατηγὸς ἀρχόμενοι ἄρχουσιν, οὐχ ᾗ αὐτοῖς δοκεῖ,
ἀλλ' ὡς ἐνδέδοται, ὑφ' ὧν ἐτάχθησαν ἄρχειν· τοιγαρ-
οῦν, εἰ παρὰ τὰ προστεταγμένα ἄρχοντες εὑρεθεῖεν,
οὐκ

cet quid imperare sit aut parere, quæ non libertatem sed servitutem inducunt. „ Si quis inquit eam „ libertatem vocet, quæ sit non necessitas, minus „ recte vocasse videbitur. Addit deinde: Si quis „ vero ex eo definiendam judicet servitutem aut li„ bertatem, utrum quis imperio subjectus sit, an „ minus, non solum hominum nemo, sed ne Deo„ rum quidem ullus liber erit, præter Jovem: aliis „ nimirum aliorum Imperio subjectis, ac proinde ser„ vientibus, omnibus autem, inde usque a Diis, „ parentibus communi Domino, Jovi. Num bene quæso pertexuit, quod contra positum dicitur apud Rhetores schema: Aut num omnino videtur ostendere, quæ sit hominum libertas? Certe contrarium plane ostendit, & hoc quidem non perfunctorie aut leviter, sed abundanter etiam: non homines solum omnes servos esse, quod imperio sint subjecti, sed & omnes Deos, præter Jovem. Verum hoc sibi nec proposuerat, nec demonstrandum promiserat; sed quomodo servi dicantur homines, & quomodo liberi. Is autem, quasi istius promissi oblitus, horum fere nullam facit mentionem; sed hujus loco ostendit, & homines omnes & Deos, excepto Jove, servos esse, quod imperio sint subjecti. Nisi forte id libertatem dixerit, sub alius imperio constitutum imperare, hoc est, alii imperantem, alius servum esse: Ut proinde nec imperare libertas sit, quoniam ex summi Imperantis nutu fit, non sui ipsius. Quemadmodum Centurio & Dux exercitus sub alius auspiciis imperant, non ut ipsis visum est, sed ut ab iis concessum, a quibus sunt imperio præfecti. Proinde, si quid præter ea, quæ habebant mandata, præcepisse deprehendantur, non impune dimit-

οὐκ ἀθῶοι τῆς ἀρχῆς ἀπαλλάττονται, ἀλλ' ἔστιν ἰδεῖν αὐτοὺς τότε τῶν στρατιωτῶν καὶ ὁτουοῦν ἀθλιώτερον ἔχοντας. οὐ τοῦτο οὖν ἐστιν ἐλευθερία, τὸ ἀρχόμενον ἄρχειν, οὐδὲ πρὸς τοῦτο ἡ ἐπαγγελία Πλήθωνος ἔβλεπεν· ὃ πᾶσιν ἀνθρώποις ἀντ' ἐλευθερίας περιάπτει δουλείαν, καὶ ὃ πρὸς ἄλλο μὲν τὸ δοῦλον, πρὸς ἄλλο δὲ τὸ ἐλεύθερον ἀποδίδωσι, κλιμακηδὸν βαθμοὺς ἀρχόντων τε καὶ ἀρχομένων εἰσάγον, καὶ οὐχ ἓν εἶδος ἐλευθερίας τε καὶ δουλείας ὑποφαῖνον, ᾧ πάντες ἐπίσης ὑποβληθήσονται ἀλλ' οὐχ οἱ μὲν οἱ δ' οὔ. οὐ πρὸς τοῦτο οὖν ἡ ἐπαγγελία Πλήθωνος ἔβλεπεν, ἀλλὰ πρὸς ἄλλο τι, ὃ πῇ μὲν τὴν ἐλευθερίαν, πῇ δὲ τὴν δουλείαν ἐπίσης διασώσεται πᾶσιν· ἀλλ' οὐ κατὰ βαθμούς τινας, καὶ ὑπερθέσεις, καὶ ὑποβιβασμούς, ἄλλων μὲν ἀρχόντων, ὑφ' ἑτέρων δ' αὖ ἀρχομένων, οὐδὲ παρὰ μέρος, τοῖς μὲν θάτερον, τοῖς δὲ τὸ λοιπόν. ὅπερ εἰ μὲν ὡς λέγομεν, δείκνυσιν, ἐξέσω σκοπεῖν τῷ βουλομένῳ τε καὶ δυναμένῳ παντί. εἰ δὲ μὴ δείκνυσι, δῆλός ἐστιν, ἢ ἐπιλαθόμενος ὃ ἐπαγγελλόμενος ἔτυχεν ἐν ἀρχῇ, ἢ ἑκὼν τῆς ἀληθείας καὶ τοῦ ὑγιοῦς ἐκτραπείς· ἵνα μὴ τῆς εὐθείας ἐχόμενος, λάθῃ πως καὶ ἄκων ἑαυτὸν εἰς αὐτὴν ἀπενεχθεὶς τὴν ἀλήθειαν, πρὸς ἣν ἂν ἴσως αὐτὸν ὁ λόγος ἀπήγαγεν, τῆς προσηκούσης ἐχόμενον ἀκολουθίας, εἴγε μὴ ἀμηγέπη αὐτῆς ἀπετρέπετο. εἰ οὖν ἐπαγγέλλεται μὲν δεικνύναι, πῶς μὲν δοῦλοι, πῶς δ' ἐλεύθεροι οἱ ἄνθρωποι εἰσί τε καὶ λέγονται, δείκνυσι δὲ οὐκ ἄμφω, πῶς μὲν τοῦτο, πῶς δ' αὖ ἐκεῖνο, ἀλλὰ θάτερον μόνον τὸ δούλους εἶναι, τὸ δὲ πῶς ἐλευθέρους εἶναι, οὐ δείκνυσιν, εἰ μὴ ὅσον τοῖς μὲν θάτερον, τοῖς δὲ τὸ λοιπὸν ἀποδίδωσιν, ἀλλ' οὐ τοῖς αὐτοῖς πῃ καὶ ἄμφω. καίτοι πρὸ μικροῦ λέγων, ἔχειν μέν τι ἐν ἑαυτοῖς

ἀρ-

tuntur imperio, sed versantur tum in multo miseriore loco, quam ullus e gregariis militibus. Quare id libertas non est, sub alius imperio imperare, neque ad hoc Plethonis spectabat promissum, quod omnibus hominibus libertatis loco servitutem imponit, quodque aliorum respectu servos, aliorum liberos reddit, & gradatim ordines inducit imperantium parentiumque, nec unum genus aut seruitutis designat aut libertatis, cui ex æquo sint omnes subjecti, non autem cui aliqui tantum, alii non item. Eo inquam non spectabat promissum Plethonis, sed alio: ut scilicet, diverso respectu, & libertatem & servitutem, omnibus æqua ratione convenire evinceret; neutiquam vero secundum gradus quosdam, atque ordines superiorum honore & inferiorum, qui aliis imperent, & aliis pareant rursus, neque ex parte, ut in alios hoc, in allos illud conveniat. Quare num id quidem ita ut diximus, ostenderit, unusquisque cui placeat & qui possit, perpendat; Si vero non ostendit, manifestum est, vel oblitum esse eorum, quæ initio in se receperat, vel de industria a vero rectoque deflexisse: Ne recta incedens via, imprudens in hanc ipsam incideret veritatem, ad quam forte illum duxisset oratio, si nativæ consecutioni institisset, nec quovis modo ab eadem fuisset aversus. Si igitur promittit, se ostensurum, qua ratione liberi sint & servi homines atque dicantur, non vero ostendit utrumque, & utriusque modum, sed alterum tantum, quod servi sint, at quomodo liberi sint non exponit, nisi quantum aliis hoc tribuit, aliis illud, non autem utrumque iisdem: Quanquam paulo ante dixit, habere homines quendam intra se principatum, scili-

 cet

ἄρχον τὸ φρονοῦν, τὸ δὲ πολὺ ἀρχόμενον, καὶ οὐ πολλοῦ τούτου τὸ φρονοῦν κύριον εἶναι. εἰ οὖν ἐπαγγέλλεται μὲν οὕτω δεικνύναι, δείκνυσι δ' οὔ, καὶ τὸ τοῦ ἀντιθέτου σχῆμα οὕτως ἐξυφήνατο καινοτόμως καὶ σοφιστικῶς ἄγαν· τί λοιπὸν, ἢ θαρροῦντας ἀποφαίνεσθαι, μὴ μετέχειν μηδενὸς ὑγιοῦς, μήτ' αὐτὸν Πλήθωνα, μήτε τὸν Πλήθωνος λόγον, οὕτω ἔχοντα πάνυ τοι διημαρτημένως; ἀποδιαιρεῖ δὲ καὶ τὴν ἀνάγκην, τοῦ ἄρχειν, κἂν τούτῳ πως ἑαυτῷ περιπίπτων· εἴγε ἐλευθερίαν μὲν οὐκ ἀποδέχεται τὴν μὴ ἀνάγκην καλεῖν, τοὺς δὲ τῷ ἄρχεσθαι καὶ μὴ, τὴν ἐλευθερίαν καὶ δουλείαν ὁριζομένους, τούτοις ἀρέσκεται, καὶ τοῖς τὸ μὴ ἄρχεσθαι τῆς μὴ ἀνάγκης ἄλλο, καὶ τὸ ἄρχεσθαι τῆς ἀνάγκης ἂν ἕτερον εἶναι. εἰ δὲ τοῦτο οὐχ ἕτερον, ἀλλὰ τῷ ἄρχειν ἐξ ἀνάγκης, ἕπεται ἡ ἀνάκη. εἰ γὰρ μὴ, τὸ ἄρχειν ἔσται χωρὶς ἀνάγκης, εἰ δὲ χωρὶς ἀνάγκης, δηλαδὴ καὶ εἱμαρμένης χωρὶς, καὶ δὴ λοιπὸν καὶ οὕτως ἀνῄρηται εἱμαρμένη. εἰ οὖν τῷ ἄρχειν ἐξ ἀνάγκης ἕπεται ἡ ἀνάγκη, καὶ τῷ μὴ ἄρχεσθαι ἡ μὴ ἀνάγκη ἂν ἕποιτο ἐξ ἀνάγκης. εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον. τί οὖν τὴν ἐλευθερίαν, εἰ μὴ ἀνάγκην λέγοι τις, ἀποσκευαζόμενος, εἰ τὸ μὴ ἄρχεσθαί τις ἐλεύθερον ἀποκαλοίη, λέγοντος ἀποδέχεται· καὶ ταῦτα, τῷ μὴ ἄρχεσθαι ὡς δέδεικται ἑπομένης τῆς μὴ ἀνάγκης; εἰ μὴ ἕτερον λέγοι τὴν ἀνάγκην καὶ μὴ ἀνάγκην, τοῦ ἄρχεσθαι καὶ μὴ ἄρχεσθαι· ὡς ἄρχειν τε τὰ ἄρχοντα, καὶ μὴ ἄρχεσθαι τὰ μὴ ἀρχόμενα, ἀνάγκης ἄνευ, καὶ μὴ ἀνάγκης, ὅπερ καὶ αὐτὸ εἰς ἀντίφασιν ἀντιπεριάγει. ὡς ἑκατέρωθεν τῷ αὐτῷ περιπίπτειν παθήματι, ἔκ τε τοῦ μὴ ἀπο-

δέ-

cet mentem, pleraque vero hominis, subesse imperio, & horum quidem dominam esse mentem. Si igitur pollicetur quidem, se ita ostensurum, non vero ita ostendit, sed antithetum schema more plane novo & sophistico pertexit: Quid reliquum est, nisi ut confidenter pronunciemus, nihil esse vel in Plethone ipso sani, vel in oratione Plethonis, ita perverse instituta? Distinguit præterea necessitatem ab imperio, etiam hac in re sibi male constans: siquidem negat, libertatem posse vocari non necessitatem, iis vero adsentitur, qui ex eo, num quis imperio subsit vel minus, libertatem finiendam judicant, quique ut aliud esse dicunt, non parere & non subesse necessitati, ita imperium etiam a necessitate distinguunt. At si hæc diversa non sunt, sed ex imperio, quod a necessitate proficiscitur, fluit necessitas. Nam si minus, imperium erit absque necessitate, si autem sine necessitate, etiam absque fato, adeoque vel sic fatum erit sublatum. Si igitur, inquam, ex imperio, quod a necessitate proficiscitur, fluit necessitas, ex statu qui est imperio solutus, non necessitas necessario sequetur. Nam si uni contrario suum contrarium rite opponitur, etiam alteri suum recte opponetur. Cur igitur, si quis libertatem dixerit non necessitatem, id repudiat; si quis vero statum imperio solutum libertatem dixerit, id admittit: cum tamen ut demonstratum est, ex non imperio sequatur non necessitas? Nisi diversam dixerit esse necessitatem & non necessitatem, ab imperio & non imperio: ut imperent imperantes sine necessitate, & non pareant non parentes sine non necessitate, quod ipsum denuo ad contradictionem reducit. Ut utroque modo in idem incurrat vitium,

δέχεσθαι, ἐλευθερίαν λέγεσθαι τὴν μὴ ἀνάγκην, καὶ αὖ τοῦτο αὐτὸ, τῷ μὴ ἄρχεσθαι φαίνεσθαι ἀποδέχεσθαι, καὶ ἐκ τοῦ, τοῦτο δεδιότα, τὴν ἀνάγκην τε καὶ μὴ ἀνάγκην, τῆς ἀρχῆς καὶ μὴ ἀρχῆς ἀποδιαιρεῖν, ὡς εἰ μὴ ἀποδιαιροίη τις, ὃ ἀπέφευγεν, ἐκεῖνο πάντως ἐσόμενον. ἢ γὰρ ἀνάγκη τὸ ἄρχον ἄρξει, καὶ τὸ μὴ ἀρχόμενον μὴ ἀνάγκη οὐκ ἄρξεται, καὶ δὴ ὃ ἀπέφευγεν, εἰς τοῦτο αὖθις ἐμπέπτωκεν· ἢ καὶ τὸ ἄρχον ἀνάγκη ἄρξει, καὶ τὸ μὴ ἀρχόμενον ἀνάγκη μὴ ἄρξεται, καὶ δὴ τό τε ἄρχον καὶ τὸ μὴ ἀρχόμενον, ἑκάτερον ἀνάγκη ἄρχεται, ὡς καὶ τὸ ἄρχον ἀρχόμενον εἶναι, καὶ αὖ τὸ μὴ ἀρχόμενον, ἀρχόμενον ἀνάγκη, καθ' ἣν ἐστι μὴ ἀρχόμενον· ἢ οὐκ ἀνάγκη, οὔτε τὸ ἄρχον ἄρξει, οὔτε τὸ μὴ ἀρχόμενον μὴ ἄρξεται, καὶ τῆς τε ἀρχῆς ἕτερον ἡ ἀνάγκη λοιπὸν, καὶ τὸ ἄρχειν καὶ μὴ ἄρχειν μὴ καθ' εἱμαρμένην, εἴγε τὸ αὐτὸ ἡ ἀνάγκη τῇ εἱμαρμένῃ. καὶ μὴν καὶ ἡ πρεσβυτάτη ἀνάγκη, καὶ ἣ μόνη δι' αὐτὴν ἀναγκαίως ἔχει, τὰ δ' ἄλλα πάντα δι' ἐκείνην, οὐκ αἰτία πάντων ἔσται, ὡς ἐκ τῶν εἰρημένων δῆλον ἐστίν. οὐ γὰρ δὴ καὶ τοῦ ἄρχειν, εἴγε μή εἰσιν ἀνάγκη τε καὶ μὴ ἀνάγκη, οἱ ἄνθρωποι δοῦλοί τε καὶ ἐλεύθεροι, εἰ καὶ θάτερον μόνον· ἀλλὰ τῷ ἄρχειν τε καὶ μὴ, καὶ τῷ ὡς βούλονταί τε καὶ μὴ βούλονται ζῆν. εἰ δὲ πάντων αἰτία, καὶ δι' ἐκείνην πάντα, οὐδὲ τὸ ἄρχειν καὶ μὴ ἄρχειν ἄνευ ἀνάγκης, οὐδὲ τὸ ἐλεύθερον καὶ μὴ ἐλεύθερον εἶναι. καὶ αὖθις αὖ περιηνέχθη, εἴς τε τὸ ἀνάγκη καὶ μὴ ἀνάγκη, τὴν ἐλευθερίαν καὶ μὴ ἐλευθερίαν ὁρίζεσθαι, καὶ πάλιν τοῦτο ἀρνεῖσθαι. τοσαύταις ἀκαταλληλίαις τε καὶ ἀντι-

φά-

vitium; seu neget libertatem dici posse non necessitatem: seu rursus id, eo quod non imperium cum libertate idem dicit, videatur concedere: atque, dum hoc metuit, necessitatem iterum & non necessitatem ab imperio & non imperio distinguat, quasi ni hoc fecisset, omnino quod effugere conatur, secuturum esset. Nam aut necessitate & quod imperat imperabit, & quod non paret, non necessitate non parebit; ac proinde quod vitat, in id ipsum rursus incidet. Aut pariter & imperans necessitate imperabit, & non parens necessitate non parebit: & proinde quod imperat, & quod non paret, necessitati erit subjectum, ut ita & quod imperat pareat, & quod non paret nihilominus pareat, necessitati scilicet, secundum quam non paret. Aut denique nulla necessitate neque imperans imperabit, neque quod non paret non parebit: ac proinde diversa ab imperio erit necessitas, & imperium juxta & non imperium, non secundam fatum erunt, siquidem necessitas & fatum idem sunt. Præterea & summa necessitas, quæ sola per se est necessaria, cum reliqua per ipsam sint, non erit omnium causa, ceu ex dictis liquet: Non enim imperii quoque causa erit, siquidem non sunt necessitate servi homines, & non necessitate liberi, aut si alterutrum tantum non est; sed prout vel imperant, vel minus, ac prout vivunt pro lubitu, aut non vivunt. Si vero omnium causa necessitas est, & per illam omnia sunt, efficitur, neque imperare aut non imperare, nec liberum aut non liberum esse quenquam, absque necessitate: Proinde rursus eo revolvitur, ut necessitate aut non necessitate, libertatem aut non libertatem definiendam fateatur, iterum vero id neget. In tot

φάσεσιν ὁ Πλήθωνός τε λόγος, καὶ Πλήθων αὐτὸς περιπέπτωκεν· ἀντιτιθεὶς μὲν πρὸς τοὺς τὴν εἱμαρμένην τιθεμένους λόγους, μὴ ἐξισχύων δὲ μετὰ τοῦ ἀληθεύειν τὰ ἀντιτιθέμενα ἐπιλύεσθαι, καὶ διὰ τοῦτο ἄνω τε καὶ κάτω περιπλανώμενος. καὶ νῦν μὲν σοφιζόμενος παρὰ τὴν ὁμωνυμίαν, ὃ τὸ τῆς δουλείας καὶ ἐλευθερίας αὐτῷ πεποίηκεν ὄνομα, λαμβανόμενον ὡς οὐκ ἔδει· νῦν δὲ αὐτὸς ἑαυτῷ περιπίπτων καὶ ἀντιφάσκων, ὃ διὰ πολλῶν γεγενημένον δέδεικται ἤδη. αὖθις δ' ἐπαναλαμβάνοντας ἡμᾶς, ἀπαριθμεῖσθαι ταῦτα περίεργον· Πλήθωνι πλείονα περιάπτοντας αἰσχύνην, τῷ πολλάκις ἐπὶ πλείονι τοῦ λόγου σαφηνείᾳ, τὰ αὐτὰ παράγειν εἰς μέσον. ἀντιποιούμεθα γὰρ ἡμεῖς, κἀν τῷ τοῖς ὑπὸ Πλήθωνος λεγομένοις ἀπαντᾶν, τῆς Πλήθωνος εὐλαβείας τε καὶ τιμῆς πλέον, ἢ τῆς αὐτὸς αὑτοῦ πανταχοῦ φυλαττόμενοι, τὸ μὴ λαθεῖν εἰπεῖν τι πρὸς αὐτὸν ἀπηχὲς, μηδ' οἷον ἂν δόξαι τῆς προσηκούσης σεμνότητος ὑπεξαγαγεῖν, πλὴν ἐπόσον ἡ τοῦ λόγου ἀκολουθία, καὶ μὴ βουλομένους ἐστὶν ἀναγκάζουσα. καίτοι τί ὅ, τι καὶ τῶν χειρίστων τε καὶ ἐπονειδίστων, οὐκ ἂν ἥρμοττεν ἀκούειν αὐτόν; ἀλλ' ἡμεῖς οὐχ ἅπερ ἄξιον ἐκεῖνον ἀκούειν σκοποῦμεν, ἀλλ' ἅπερ ἡμᾶς καὶ ποιεῖν καὶ λέγειν δίκαιον, ταῦτα τιθέμεθα πρὸ παντός· ἀρκεῖν ἀντὶ πάσης ἀτιμίας καὶ αἰσχύνης ἡγούμεναι Πλήθωνι, τὸ οὕτως αὐτὸν ἑαυτὸν καταισχύνειν, ὡς πᾶσιν ἔμελλεν, ἐπάρατός τε εἶναι, καὶ πυρὶ τῷ αἰωνίῳ ὕλη, μεθ' ἧς ἔτεκεν ἀσεβείας, ταμιευθήσεσθαι. ἀλλ' ὅπερ ἔλεγον, οὐκ ἔχων τὰ μετὰ τοῦ ἀληθεύειν ἀντιτιθέμενα, ἀληθῶς ἐπιλύεσθαι. ἀληθὲς γὰρ ἀληθεῖ λυθῆναι οὐχ οἷόν τε, ἀλλ' οὐδ' ἀληθὲς ψευδεῖ, ἀλλὰ ψευδὲς ἀληθεῖ. οὐκ ἔχων οὖν ἀληθέσιν ἀληθεῖ ἀντιφέρεσθαι ψευδέσιν, ἐπικεχείρηκεν· οἷς ἐπιχειρήσας, τὸ τοσοῦτον ὑπέμεινε πλάνον καὶ τὰ αἰσχι-

enim discrepantias & contradictiones, & Plethonis oratio & Pletho ipse incidunt. Qui quidem dubium adversus rationes pro fato movet, sed nequit ex vero dissolvere, ac propterea huc atque illuc circumvagatur: nunc ambiguitate vocum ludens, dum servitutis ac libertatis nomina, aliter ac fieri debebat accipit: nunc ipse sibi male constans ac contradicens, quod multis jam docuimus argumentis. Supervacuum proinde est, hæc iterum repetita annumerare, ne majorem etiam Plethoni adspergamus ignominiam, dum eadem sæpius abundanti explanatione adducimus in medium. Nos enim, etiam dum iis, quæ Pletho dixit, occurrimus, magis studemus reverentiæ honorique Plethonis, quam ipse facit. Et ubique nobis temperamus, ne quicquam durius adversus ipsum imprudentibus excidat, aut quod videri possit, reverentiæ convenienti quicquam detrahere, nisi quantum orationis consecutio vel nolentibus nobis exprimit. Quanquam nihil adeo turpe est aut probrosum, quod non in illum merito conveniat. Nos autem quid ille dici mereat, non spectamus, sed quæ nos æquum est facere ac dicere, ea nobis prima sunt & antiquissima: Et satis arbitramur Plethoni esse dedecori atque ignominiæ, quod ipse se adeo turpiter dederit, ut execrandus merito debeat esse omnibus, & igni æterno, cum iis quæ peperit flagitiis, reservandus. Sed quod dixi, ubi quæ vere sibi opposuerat, non poterat vere dissolvere. Verum enim vero solvi nequit, multo minus verum falso; sed falsum debet vero solvi. Ubi ergo vera veris dissolvere non poterat, falsis id conatus est. Quod dum fecit, in tantum est errorem delatus, & rem manifesto tur-

σα τῶν πώποτε δέδεικται πεπονθώς. ὡς οὐκ ἐχρῆν, ἀλλ' ἢ μὴ δὲ τὴν ἀρχὴν ἀντιθεῖναι, μένοντα ἐφ' ἧς ἔτεκεν ἀσεβείας, ἵνα μὴ ἐδόκει γοῦν τισι τὴν ἀλήθειαν ἐπεγνωκὼς, ἑκὼν αὐτῆς ἀποπλανηθῆναι, ὡς καὶ τοσαύτῃ περιπεσεῖν ἀβελτηρίᾳ τε καὶ ἀκαταλληλίᾳ τοῦ λόγου· ἢ ἀντιθέμενον, ἐπεὶ μὴ εἶχεν εὐπορεῖν, ὡς ἐπιλύσεται τὰ ἀντιτεθειμένα τε καὶ ἠπορημένα, ἣν ἀλήθειαν αὐτὰ πρεσβεύει, ἀσπάσασθαι, ἀλλὰ μὴ οὕτως ἀπαντᾶν πρὸς αὐτὰ, ὡς ἔμελλε μετὰ τοῦ ἀσεβεῖν, καὶ τῶν πώποτε αἰσχρότερός τε καὶ ἀναιδέστερος δείκνυσθαι. ἀλλ' εἰς ταῦτα μὲν ἡμᾶς, ὡς εἴρηται, καὶ μὴ βουλομένους, ἡ τοῦ λόγου ἐξήνεγκεν ἀκολουθία. νῦν δὲ τὰ Πλήθωνι εἰρημένα πρὸς τὴν ἀντίθεσιν, αὐτῇ ἐκείνῃ παραθῶμεν τῇ ἀντιθέσει· καὶ δείξωμεν ὅπῃ τε ἔχει, καὶ εἰ ὅλως ἔχεται λόγου, ἃ ἐπιλυόμενος τῇ ἀντιθέσει ἀντέθηκεν. οὐκοῦν ἡ ἀντίθεσις ἔλεγεν, εἰ πάντα ὥρισται, καὶ οὐδὲν ὅ, τι μὴ ἀνάγκης μετείληφε τῶν ὄντων, ἔκ τε τῶν ἀνθρώπων οἴχεσθαι αὐτὴν ἐλευθερίαν, καὶ τὴν δίκην θεόθεν· τῶν μὲν ἀνθρώπων ἀνάγκῃ, ἅττ' ἂν πράττοιεν, πραττόντων, καὶ οὐκέτι οὔτ' ἂν κυρίων ἑαυτῶν ὄντων, οὔτ' ἂν ἐλευθέρων· τῆς δὲ θεόθεν κολάσεως, ἤτοι τοπαράπαν ἂν ἀφεστηκυίας τῶν κακῶν, ἢ οὐκ ἂν γινομένης ἐν δίκῃ, εἴγε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί. ταῦτα μὲν ἡ ἀντίθεσις, ἡ δὲ λύσις, οὐχ ὅτι ἐπελύσατο τὰ εἰρημένα, ἀλλὰ καὶ προσεπεβαιώσατο· οὐ μόνον οὐ δεικνῦσα τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. οὐδένα ἀποφαινομένη ἐλεύθερον, οὐχ ὅτι ἀνθρώπων, ἀλλ' οὐδὲ θεῶν, ὥς φησιν, οὐδένα, πλὴν Διός. τήν τε ἀνάγκην, οὐκ ἤτοι ἁπλῶς, ἢ πῇ ἀποφάσκουσα, ἀλλὰ ταύτῃ πάντα καθυποβάλλουσα· ὡς μηδ' ἂν ταύτῃ μηδένα τῶν ἁπάντων ἐλεύθερον εἶναι, κατ' ἀνάγκην δή τινα ἀ-

φυκ-

pissimam omnium commisit. Proinde vel ab initio nihil sibi debebat opponere, sed in illa quam excogitarat impietate consistere, ne videretur quibusdam ab agnita veritate sponte deflexisse, ac propterea incidisse in tantam amentiam ac contradictionem orationis: Aut certe, posteaquam opposuerat aliquid, nec habebat, quo opposita argumenta & dubia recte dissolveret, debebat eam, quam ista profitentur, veritatem amplecti; non autem ita illis occurrere, ut & impius & turpissimus omnium ac impudentissimus merito videretur. Sed ac hæc quidem ut dictum, vel invitos nos orationis consecutio adduxit. Jam autem quæ Pletho ad argumentum oppositum respondet, ipsi quoque argumento adjiciamus, & ostendamus, quomodo se habeant, & num omnino veritas insit in iis, quæ dissolvendo huic argumento opposuit. Nimirum ita habet argumentum. Si omnia sint definita, nihilque sit necessitatis expers, exulaturam ex hominibus ipsam libertatem, & justitiam ex Diis: Cum homines ex necessitate facturi sint, quæ fecerint, neque vel sui amplius arbitrii futuri, vel liberi: Vindicta vero divina vel omnino neglectura malos, vel certe minus justa futura sit, siquidem mali sint ex necessitate mali. Hujusmodi quidem est argumentum, at responsio tantum abest, ut dicta dissolvat, ut potius insuper confirmet: Quæ scilicet non solum libertatem ostendit nullam, sed & contrarium docet, neminem scilicet esse liberum, non modo inter homines, sed ne ipsos quidem, ut inquit, Deos, nisi Jovem. Necessitatem vero neque prorsus, nec aliqua ratione negat, sed eidem omnia subjicit: Ut per hanc liber esse nemo possit omnium, omnibus ex ineluctabili necessitatis

φυκτον, παντὸς ζῶντος, οὐχὶ καθ᾽ ἑαυτὸν οὐδενὸς πολιτευομένου, ὃς ἔμελλεν ἂν μόνος ἐλεύθερος εἶναι. τοὺς κακοὺς τε ἀπεφήνατο, κακοὺς ἀνάγκῃ εἶναι, καὶ οὐ καθ᾽ ἑαυτούς· ὃ ταυτὸν τῷ ἀνάγκῃ κακοὺς εἶναι, καὶ κακῶν μηδένα ἐλεύθερον εἶναι, δούλους δὲ ἅπαντας ἐξ ἀνάγκης· ἅπερ εἰ μὲν ἐπιλυομένου τὰ ἠπορημένα, σκοπείτω πᾶς ὁ βουλόμενος. εἰ δ᾽ ἐπιβεβαιοῦντος μᾶλλον, ἅπερ ἡ ἀντίθεσις ἔλεγε, ταῦτα ἐκ πολλῆς περιουσίας κρατύνοντος, ὡς ἔκ τε τῶν προειρημένων ἡμῖν ἐγίνετο δῆλον, καὶ ἐξ ὧν ἀντιπαρατιθεῖσιν ἀλλήλοις, τὰ τῆς ἀντιθέσεως καὶ τῶν ἐπ᾽ αὐτῇ ἐπιλύσεων, φαίνεται· πῶς οὐ καὶ κατ᾽ αὐτὸν Πλήθωνα, κυρία τε ἡ ἀντίθεσις, καὶ μεθ᾽ ἑαυτῆς τὸ ὑγιὲς ἔχουσα; ἧς οὕτως ἐχούσης, καὶ οὐχ ὅτιγε μὴ λυομένης ὑπὸ Πλήθωνος, ἀλλὰ καὶ προσεπιβεβαιουμένης· ἢ οὐκ ἂν εἴη τὰ κατὰ τὴν ἀντίθεσιν, ὅπερ ἀμήχανον, ἕως ἂν ταῦτα τὸ ὑγιὲς ἔχειν ὁμολογῆται· ἢ εἰ ταῦτα εἴη, καὶ κατὰ Πλήθωνα δέδεικται εἱμαρμένη μὴ εἶναι, μηδ᾽ ἀνάγκῃ ἀπαρατρέπτῳ γίνεσθαι πάντα. ἕως γὰρ ἂν ὑγιαίνῃ ὁ λέγων λόγος, εἰ πάντα ὥρισται, τὴν ἐλευθερίαν ἐξ ἀνθρώπων οἴχεσθαι, καὶ τὴν δίκην θεόθεν, ἅπερ ὡς ἀληθῶς ἄτοπα καὶ ἀδύνατα· ἐκεῖνο οὐκ ἂν εἴη, ὅθεν ἕπεται ταῦτα, καὶ λοιπὸν ἅπερ οἰκοδομεῖν παρέβαινε Πλήθων, αὐτὸς, οὐκ οἶδ᾽ ὅ, τι παθὼν, ὑπὸ τῆς ἀληθείας ἴσως καὶ ἄκων συνελαθεὶς, ταυτὶ καταλέλυκεν. οὗ μεῖζον εἰς ἀπόδειξιν, οὐδ᾽ ἀξιοπιστότερον οὐδὲν, μεματαιῶσθαι τοὺς ἀπολογισμοὺς αὐτοῦ παραπλησίως παιδὶ παίζοντι, καὶ ἃ φθάσας ᾠκοδόμησεν, αὖθις αὐτὰ καταλύοντι. εἰ οὖν τις αὐτῷ οὕτως ἔχοντι προσέχειν αἱροῖτο, πῶς οὐ καὶ αὐτὸς κατ᾽ αὐτὸν ἐκεῖνον μεματαίωται, παιδὸς ἀνοηταίνοντος οὐδὲν

ἀμει-

præſcripto viventibus, nemine autem ex ſuo arbitrio inſtituente vitam, qualis certe ſolus liber fuiſſet. Malos præterea declaravit neceſſitate malos eſſe, non autem ex ſeſe: quod idem eſt, ac neceſſario malos eſſe, & malorum neminem eſſe liberum, ſed ſervos omnes ex neceſſitate. Quæ quidem num ſint hominis ſolventis dubia, perpendat cuicunque volupe fuerit. Si vero confirmantis potius ſunt, quique iis, quæ continentur argumentis oppoſitis, ex abundanti robur addat, ceu ex dictis partim manifeſtum eſt, partim ex iis, quæ conferentes argumenta cum reſponſionibus facile perſpicient: Quidni ſecundum Plethonem ipſum rata ſint & ſalva, quæ oppoſita fuere? Quæ cum ita ſe habeant, & a Plethone non ſolum non ſint ſoluta, ſed & confirmata inſuper: ſequitur, ut vel antitheſis non ſit vera, quod fieri non poteſt, quamdiu illam ſalvam eſſe conceditur, aut ſi hæc ſtat, ut ſecundum Plethonem etiam demonſtratum ſit, neque fatum eſſe, neque neceſſitate immutabili omnia fieri. Quamdiu enim ſalva eſt hæc oratio, ſi omnia ſint definita, exulare libertatem ex hominibus, & vindictam ex Diis, quæ certe ſunt vere abſurda, & fieri non poſſunt: Efficitur, illa unde hæc fluunt, ſtare non poſſe, ac proinde, quæ firmare neglexit Pletho, eadem ipſum, neſcio qua de cauſa, forte quod invitus ſit a veritate commotus, deſtruxiſſe. Quo quidem majus nihil aut fide dignius, ad demonſtrandum, irritas factas eſſe defenſiones ipſius, non aliter ac fieri ſolet a puero ludente, qui quæ exſtruxerat ante, rurſus ipſe diſſolvit. Si quis igitur ita inſtructum voluerit Plethonem ſequi, quidni ipſe quoque ſecundum eundem ineptus ſit, & inſipiente puero nihil melior:

ἄμεινον ἔχων· εἰ μὴ καὶ χεῖρον, παρόσον ἐν οὐ παικτοῖς ἐπιδείκνυται παιδιὰν, εἰς ἔσχατον ἀσεβείας ἐξωθοῦσαν κρημνόν· εἴγε καὶ παιδιὰ τι τοιοῦτον· ἀλλὰ μὴ ἑκούσιος ἀπωλείας κρημνὸς, καὶ λογισμοῦ παρατροπὴ ἐθελούσιος, ἐπὶ τοῦτο φέρουσα, ἐφ' ὃ οὐδ' ἂν μαινόμενος αὐτομολῆσαι ἠνέσχετο. καὶ περὶ μὲν τούτων, ἐπὶ τοσοῦτον. λοιπὸν δὲ ἡ περὶ τῆς θεόθεν γινομένης δίκης ἀνθρώποις, ἐξέτασις. ἣν ποιησαμένοις, οὐδὲν ἴσως τῶν δεόντων ἐλλελειμμένον ἡμῖν ἀνεξέταστον ἔσται, καὶ τῷ λόγῳ τὸ προσῆκον πέρας ἐπιτεθήσεται· δίκην εἰ καὶ μὴ ἀξίαν, τὴν γοῦν δυνατὴν, εἰληφόσι, παρά τε Πλήθωνος αὐτοῦ, καὶ τῶν Πλήθωνος. τεκμήριον ἐκείνης οὖσαν τῆς δίκης, ἥπερ αὐτὸν αἰωνίως ἑαυτῇ παρακαθέξει, ἄφυκτα κολασθησόμενον, ὅτι δὴ ἀνεπανόρθωτα, καὶ ἐθελούσια, τὰ πεπλημμελημένα αὐτῷ· ὃν εὐεργετοῦντα ποικίλως, καὶ πρὸς ἑαυτὸν ἀνακτώμενον, ἑκὼν οὐκ ἐπέγνω, τοῦ ὑγιοῦς ἐκτραπεὶς, τοῦτον ἐπεγνωκότα αἰωνίως κολάζοντα. λέγει τοίνυν περὶ τῆς θεόθεν γινομένης δίκης ἀνθρώποις, οὑτωσί πως ὁ Πλήθων· ,,τοὺς δὲ Θεοὺς
,, κολάζειν ἂν, οὐκ αὐτὸ τοῦτο τέλος δήπου, τόγε κο-
,, λάζειν ποιουμένους, οὐδὲ ἐπ' αὐτοῦ καταστρέφοντας, ἀλ-
,, λὰ τὰ ἁμαρτήματα ἐπανορθοῦντας. εἶτα ἐπάγει· ἐπεὶ
,, γὰρ οὐχ οἷόν τ' ἦν, μὴ ἁμαρτάνειν πάντως τὸν ἄνθρωπον,
,, τοιοῦτόν τινα γεγονότα, ἐκ τε θείας καὶ ἐπικήρου φύ-
,, σεως σύνθετον. ἀλλ' ἔδει τότε μὲν ἂν, κατὰ τὸ θεῖον τὸ
,, ἐν αὐτῷ, ἐπὶ τὴν τοῦ συγγενοῦς ἀφομοίωσιν ἀγόμενον,
,, εὖ τε πράττειν καὶ μακαρίως ζῆν· τότε δ' αὖ ὑπὸ τοῦ
,, θνητοῦ τοῦ ἐν αὐτῷ κατασπώμενον, ἑτέρως αὖ πράττειν
,, βοήθειάν τινα αὐτῷ. καὶ διὰ τῶν κολάσεων ταύτην ἐπα-
,, νόρθωσιν τοὺς θεοὺς μεμηχανῆσθαι· ὡς ποτε, τῷ κολασθῆ-
,, ναί τε καὶ δίκην δεδωκέναι ἀπαλλαγέντι τῆς κακίας,

οἷον

lior: nisi etiam pejor, quatenus in rebus non ludicris lusum ostentat, qui in extremam detrudit impietatem? Si modo lusus hic est dicendus, & non potius spontanea præcipitatio in perniciem, & voluntaria mentis aberratio, ad illa ferens, ad quæ ne insanus quidem profugere sustineat. Sed tantum de his. Reliquum est, ut de pœna, quam hominibus infligit Deus, dispiciamus. Quod ubi fecerimus, nihil forte dignum examine, erit a nobis silentio prætermissum, atque orationi finis merito imponetur: postea quam pœnam, si non qualem debebamus, saltem qualem poteramus, repetierimus a Plethone & sententiis Plethonicis. Quæque argumentum sit istius pœnæ, quæ illum detinebit in æternum, ineluctabili afficiendum supplicio, quod pertinaciter ac sponte tanta susceperit flagitia: ubi, quem variis modis benefacientem sibique conciliantem, noluit a vero aversus agnoscere, eundem sempiternum olim scelerum vindicem agnoverit. Ita igitur de supplicio, quod Deus capit ab hominibus, loquitur Pletho: „ Deos quidem punire, non ut pœnas ipsas „ sibi constituant finem, aut eo convertant a„ nimum; sed ut delicta corrigant. Addit dein„ de: Siquidem fieri aliter non poterat, quin ali„ quando delinqueret homo, qui ita erat compa„ ratus, atque e divina & caduca naturis composi„ tus. Sed debebat quidem aliquando secundum id „ quod erat in ipso divinum, ad cognatæ naturæ „ imitationem excitatus, bene agere, vivereque „ beate: Interdum vero, a natura abreptus mor„ tali, alio quodam subsidio juvari. Hanc vero „ correctionem Deos pœnarum ope effecisse: Ut „ homo, dum punitur ac pœnas dat, liberatus a

„ οἷόν περ νόσου σώματος, δηκτικοῖς τε καὶ ἀνιαροῖς τισι
„ φαρμάκοις, ἄμεινόν τε πρᾶξαι γένοιτο, καὶ ἐλευθερίας
„ ἀντὶ δουλείας μεταλαβεῖν, ὅτου μὴ ἠπιωτέρα τις ἐ-
„ πανόρθωσις, διὰ μοχθηροτέραν τινὰ ἕξιν, δύναιτο κα-
„ θικέσθαι. ὥστ' οὐδὲν ἂν κωλύοι, καὶ ἄκοντας κακοὺς ὄντας
„ τοὺς κακοὺς, ὅμως κολάζεσθαι. κακὸν μὲν οὐδὲν προσ-
„ πεισομένους, ἀλλ' ὠφελησομένους τῷ κολάζεσθαι· προσ-
ήκοντά γε τῇ θεοποιΐᾳ Πλήθωνος τὰ λεγόμενα· κο-
λάζειν τοὺς μὴ ἑκόντας ἐξαμαρτάνοντας, ἀλλά τινι ἀνάγ-
κῃ, δυστυχῶς μὲν, βίᾳ δὲ ὅμως ἐξαγομένους, ἐφ' ἅ-
περ οὐ βούλονται. ὡς αὐτῷ τούτῳ τῷ κολάζειν, καὶ τὴν κα-
κίαν ἐπανορθοῦν πειρᾶσθαι, κακοὺς αὐτοὺς γίνεσθαι· ἀδίκως
κολάζοντας, τοὺς μὴ ἑκόντας ἐξαμαρτάνοντας, καὶ τὴν κα-
κίαν ἀπὸ τῶν κακῶν, οὐδέον οὕτω καλουμένων, μετατιθέν-
τας ἐφ' ἑαυτούς. οὐδὲν γὰρ ἄλλο τοῦτό ἐστιν, ἢ ἀνθρώπους ἐ-
πανορθοῦντας ταῖς κολάσεσιν, αὐτῷ τούτῳ τῷ κολάζειν, καὶ
πειρᾶσθαι ἐπανορθοῦν, αὐτοὺς κακοὺς γίνεσθαι, οὓς οὐκ ἔδει
κολάζειν, κολάζοντας. εἰ γὰρ ἄκοντες ἐξαμαρτάνουσιν ἄν-
θρωποι, ἢ τὸ ἀκούσιον ἀνελεῖν κακὸν ἔδει, ὃ αὐτοὺς πα-
ρασκευάζει κακύνεσθαι, ἵνα καὶ ἀληθὴς ἦν ἐπανόρθωσις τοῦτο·
ἢ μὴ ἀνθρώπους κολάζειν ἐξαμαρτάνοντας ἄκοντας, ἀλλ' ὃ
αὐτοὺς ἐξαμαρτάνειν βιάζεται. τοῦτο δ' ἂν ἦν, ἢ αὐτοὺς ἑαυτοὺς
εὐλόγως κολάζειν, ἢ εἱμαρμένην, ἢ καὶ ἑαυτούς γε καὶ εἱμαρ-
μένην· δι' ἣν πάντως καὶ τὸ ἀνθρώπους ἐξαμαρτάνειν, καὶ κα-
κοὺς γίνεσθαι, εἴγε μὴ καθ' ἑαυτοὺς, μηδ' ἑκόντες οἱ κακοὶ
κακοὶ, ἀλλ' ἄκοντες, καὶ ἀνάγκῃ, καὶ ὡς οὕτως εἰπεῖν,
εἱμαρμένῃ ἀπαρατρέπτῳ. νῦν δὲ παραπλήσιον ποιοῦσιν,
ὡς εἴ τις δούλους κεκτημένος δεσπότης, αὐτὸς αὐτοὺς, ἐπί
τι τῶν ἀπειρημένων τοῖς νόμοις, προτρέποι τε καὶ βιάζοιτο,
καὶ ἄκοντας ἐφ' ὅπερ οὐ βούλονται συνελαύνοι, εἶτα κολά-
ζοι,

„ vitiositate, velut a corporis morbo mordenti-
„ bus solemus ingratisque medicamentis, agat ali-
„ quando felicius, & libertatem cum servitute com-
„ mutet: id quod mitior correctio, propter vitio-
„ siorem habitum, assequi non potuisset. Ut adeo
„ nihil obsit, quominus mali, utut inviti mali sint,
„ puniantur: siquidem non augentur malis, sed u-
„ tilitatem etiam capiunt ex supplicio. Hæc quidem Diis conveniunt Plethonicis, ut in eos animadvertant, qui non sponte, sed necessitate quadam deliquerant, infeliciter quidem, sed tamen vi ad ea quæ nolebant compulsi. Ut adeo eo ipso, quod puniunt & malitiam conantur corrigere, ipsi fiant mali: dum scilicet injuste puniunt eos, qui inviti peccaverant, & malitiam a malis, qui præter meritum ita dicuntur, in sese transferunt. Nihil enim hoc est aliud, quam Deos, reducendo homines pœnis ad frugem, dum puniunt & ad frugem reducunt, malos fieri: quoniam eos, qui nihil tale promeriti sunt, supplicio afficiunt. Nam si inviti delinquunt homines, aut erat hoc involuntarium malum tollendum, quod eos in vitia induxerat, ut vera demum dici posset correctio: aut non homines involuntario peccantes puniendi, sed illud ipsum quod eos peccare cogit. Hoc est, vel ipsi se, vel fatum debebant punire, aut & se & fatum: Per quod sane delinquunt homines, & mali fiunt, siquidem mali non ex sese aut volentes mali sunt, sed inviti & ex necessitate, & fato quasi immutabili. Jam autem similiter faciunt, ac si quis qui servos habet dominus, ipse eosdem ad aliquid vetitum legibus incitet & cogat, atque invitos ad id quod nolebant adigat, deinde vero rapiat ad pœnam, quod

ζοι, πεποιηκότας, ἃ ποιῆσαι κατηναγκάσθησαν· δέον δὲ ἑαυτὸν κολάζειν, ἐφ' ἅπερ οὐ θέμις, τοὺς οἰκείους βιασάμενον δούλους, ἢ μηδ' ἐκείνους, οὐχ ἑκόντας, ἀλλὰ βίᾳ, καὶ ἀφύκτῳ ἀνάγκῃ, γενομένους σὺν τῷ κακῷ. οὓς οὐ μᾶλλον ἄν τις δικαίως κολάσειεν, ἢ ἐλεήσειε, τῆς ἀκουσίου κακίας, καὶ τρόπον γέ τινα πειράσαιτο, ἀνθρώπους, χρηστοὺς ἄλλως καθ' ἑαυτοὺς, πονηρᾶς ἀπαλλάξαι δουλείας. ὃ καὶ πολλοὺς ἐπὶ πολλῶν ἐστιν ὁρᾷν ποιοῦντας ἑκάστοτε· δυοῖν κακιῶν, καὶ τὸν δεσπότην ἀπαλλάττοντας, καὶ τοὺς δούλους, τοὺς μὲν, δουλείας αἰσχρᾶς, καὶ ἀκουσίου κακίας, τὸν δὲ δεσπότην, θηριωδίας τε καὶ ὠμότητος. καίτοι οὐδεὶς ἀνθρώπων, κἂν εἰς ἔσχατον ἥκοι κακίας, ὃς τὸν οἰκέτην κολάσεται πράττοντά τι, κἂν τὸ κάκιστον ᾖ, τῶν ὑπ' αὐτοῦ προστεταγμένων αὐτῷ. πᾶς γὰρ, καὶ ὁ χείριστος, οἶδε τοῦτο δήπουθεν, ὡς ἢ ἑαυτὸν κολαστέον, ὅπερ οὐκ ἔδει προστάττοντα, καὶ τὸν οἰκέτην ἐπ' αὐτὰ βιαζόμενον· ἢ μὴ δὲ τὸν οἰκέτην, ἄκοντα καὶ παρὰ τὴν ἐπιταγὴν ποιοῦντα, ὅπερ αὐτὸς ποιῆσαι καὶ ἐπέταξε καὶ ἠνάγκασε. καὶ οὔπω οὐδεὶς εἰς τοσαύτην ἐλήλυθε μοχθηρίας ὑπερβολὴν, ὡς κολάζειν τὸν πράττοντά τι τῶν κακῶν ἀκουσίως· καὶ μάλιστα, εἰ αὐτὸς ἐπιτάττων εἴη γίνεσθαι, ὃ δὴ μὴ θέμις ἦν γίνεσθαι. Πλήθων δὲ τῷ περιόντι τῆς σοφίας, οὓς ἐπρέσβευσε θεοὺς, τοσαύτης αὐτοῖς μεταδίδωσι μοχθηρίας, ὡς κολάζειν τοὺς ἐξαμαρτάνοντας ἄκοντας. ἵνα δὴ καὶ τῶν μοχθηροτάτων ἀνθρώπων μηδὲν ἄμεινον ἔχοιεν, εἰ μὴ καὶ χεῖρον· οὐχ ὅπερ αἴτιον ἀνθρώποις τοῦ κακύνεσθαι, ἢ ἀναιροῦντες, ἢ κολάζοντες δικαίως, ἀλλ' ἀντὶ τούτου, τοὺς τῷ αἰτίῳ πειθομένους ἀνάγκῃ, ὃ τὸν τοῦ δικαίου διαπέφευγε λόγον. εἰ δὲ μὴ διαμαρτάνοντας κολάζοιεν, ἀλλὰ τὸ παράπαν οὐδὲν ἀδικοῦντας, πῶς οὐ καὶ πολλῷ χεῖρον ἕξουσιν; ἔτι· ἁμαρτάνειν γάρ ἐστι, τὸ μὴ ἄκοντά τι ποιεῖν, ἀλλ'

ea fecerint quæ facere coacti sunt: Cum deberet vel se ipsum punire, quod ad res injustas suos compulerit servos, aut certe non ipsos, qui non sponte, sed vi & ineluctabili necessitate in mala delati sunt. Quos quidem nos magis quis puniat, quam deploret, propter involuntaria delicta: Imo daret quodammodo operam, ut homines frugi ceteroquin per se, e prava istac servitute eriperet. Atque hoc fieri quoque videmus a multis, ut a gemino malo & dominum liberent & servos: Hos quidem a turpi servitute, & involuntariis vitiis, dominum autem a feritate & sævitia. Quanquam nemo est hominum adeo perdita malitia, ut servum propterea puniat, quod aliquid mali, quamvis summum, sese jubente fecerit. Hoc enim novit pessimus quisque, quod vel se debeat punire, qui iniqua præceperit, servumque ad ea coegerit: aut nec servum punire, qui invitus & secundum mandata fecit, quæ ipse, ut faceret, dominus jusserat coegeratque. Nemo certe eousque improbitatis processit, ut quenquam qui invitus mala patraverat puniret, præsertim si ipse præceperit hæc ipsa, quæ præcipere erat nefas. Plethо autem abundanti sua sapientia, eos quos prædicat Deos, instruit tanta improbitate, ut invite etiam peccantes, puniant. Quo hominibus improbissimis, si non pejores, nihil certe meliores sint, qui non id sustulerint, aut juste punierint, quod hominibus improbe agendi causa erat, sed hujus loco homines, qui horum omnium auctori obediunt necessitati, id quod ab omni justi ratione est alienum. Si vero non animadvertant in peccantes, sed in eos qui nihil prorsus patravere injusti, quidni vel pejores multo sint? Peccare enim est, non

ἑκόντα κακὸν γίνεσθαι· ὡς γοῦν ἐπὶ τοῦ νῦν ὁρίσασθαι χρείας. εἰ δέ τι ποιεῖ τις ἄκων, οὐκέτι τοῦθ᾽ ἁμαρτάνειν· εἰ μὴ ἐξόν πη τοῦ ἀκουσίου ἑαυτὸν ὑπεξαγαγεῖν, τοῦτο μὲν οὐ ποιεῖ, τηρεῖ δ᾽ ἑαυτὸν, ἐν ᾧ ἔμελλεν ἄκων ἀναγκάζεσθαι, πράττειν ἅπερ οὐ βούλεται. τὸ γοῦν τοὺς μὴ ἑκόντας κακοὺς γινομένους κολάζειν, ὅπερ ἐστὶ μὴ ἁμαρτάνοντας, εἴγε μὴ ἁμάρτημα τὸ ἀκούσιον, ἀλλ᾽ ὡς οὕτω φάναι, δυστύχημα· οὐχ ἁμαρτήματά ἐστιν ἐπανορθοῦν, οὐδὲ τοῦτο τῶν κολάσεων τέλος ποιεῖσθαι, ἀλλ᾽ ἁμάρτημα μέγιστον ἐξαμαρτάνειν, τοὺς μὴ ἁμαρτάνοντας κολάζοντας, αὐτό τε τοῦτο τέλος ποιουμένους, καὶ ἐπ᾽ αὐτοῦ καταστρέφοντας, τοὺς μηδὲν ἀδικοῦντας κολάζειν. καὶ τοῦτο καὶ ὁπηοῦν τοῦ δικαίου διασώσεται λόγον· ἢ πῶς οὐ παραβάτου δή τινος, πεποιηκότες ἔσονται ἔργον, εἰς ἀνάγκην τοῦτο τὸ κακὸν ποιεῖν καθιστῶντες αὐτοὶ, εἶτ᾽ ἐργαζομένους, ὃ ποιεῖν ἠναγκάσθησαν, κολάζοντες; καίτοι, εἰ καὶ μὴ αὐτοὶ ἦσαν, οἱ τὴν ἀνάγκην ἐπάγοντες, ἀλλ᾽ ἕτερόν τι, αὐτοὶ δὲ δικαστῶν ἐπέχοντες τάξιν, τὰ ἡμαρτημένα ἐπανορθοῦν ἐπειρῶντο· οὐδ᾽ οὕτως ἂν ἦσαν δίκαιοι, ἀντὶ τοῦ ἀναγκάζοντος, τοὺς ἀναγκαζομένους κολάζοντες. ἄλλους γὰρ ἂν ἦν κολάζειν, ἁμαρτάνοντος ἄλλου· ὅπερ οὐχ ὅτι οὐκ ἐπανορθοῖ τὰ ἡμαρτημένα, ἀλλὰ καὶ προσεπιτίθησι τοῖς ἡμαρτημένοις, εἴγε δεῖ καὶ ἡμαρτημένα τὰ μὴ ἑκούσια λέγειν, τὸ τῶν κολαζόντων ἁμάρτημα· καὶ τὴν ἀκούσιον ταύτην κόλασιν τῶν κολαζομένων, ὡς τὴν ἀκούσιον ἐκείνην βίαν, τοῦτο ποιεῖν ἃ ποιοῦντες, κακῶν ἐσχήκασι δόξαν. καὶ πῶς τοῦτο πρὸς δικαστοῦ, καὶ μικρὸν γοῦν σωφρονοῦντος, ἢ ποιοῦντός τι μέτριον ὅλως; εἰ δὲ μηδ᾽ ἄλλο τι εἴη ἐπὶ τὰ κακὰ ἐξορμοῦν, αὐτοὶ δὲ καθ᾽ εἱμαρμένην εἶεν, οἱ τὴν ἀνάγκην ἐπάγοντες,

καὶ

invitum aliquid facere, sed sponte malum fieri, ut quantum ad præsens institutum satis est, rem definiamus. Si quis vero quid facit invitus, id quidem non amplius est peccare; nisi si potuisset se statui coacto subtrahere, id non faciat, sed perstet potius in eo loco, in quo invitus debeat cogi, ad facienda ea quæ nollet. Quare qui eos puniunt, qui inviti evasere mali, hoc est, qui non peccarunt, siquidem invitum nihil peccatum est, sed casus potius adversus, ut ita loquar: Ii quidem non corrigunt delicta, neque eum sibi pœnarum finem constituunt, sed gravissimum admittunt facinus, dum eos qui nihil peccant, plectunt, & hunc sibi præfigunt scopum, eoque convertunt animum, ut in nihil delinquentes animadvertant. Quomodo ergo justitiæ ita servabitur ratio: Aut quidni hi ipsi violarent leges, qui homines ad male agendi necessitatem redegerunt, & deinde facientes id, quod facere coacti sunt, pœnis afficiunt? Quanquam, si ipsi etiam necessitatem hanc non imposuissent, sed aliud quiddam, ipsi vero judicum munere functi, corrigere delicta conati essent: ne sic quidem justi forent, si loco cogentis punirent coactos. Alioquin enim alium liceret punire, delinquente alio: quod non solum non corrigit delicta, sed & addit delictis, si modo ita nominare fas est invita, punientium delictum: & invitas hasce pœnas punitorum, similes reddit isti vi, quæ homines ad ea facienda cogebat, quæ cum facerent, improborum præ se ferebant speciem. Quod quomodo conveniat, judici vel paululum continenti, aut quicquam facienti quod æquum sit? Si vero aliud nihil impellat ad mala, ipsi vero hi qui necessitatem inducunt, fato sint, &

καὶ αὖ καθ' εἱμαρμένην κολάζοντες; οὐ γὰρ οὔτε τὰ πρότερον, οὔτε τὰ ὕστερον μὴ καθ' εἱμαρμένην εἶναι, εἴγε μηδὲν ὅλως τῶν ὄντων τε καὶ γινομένων αὐτὴν διαπέφευγε· τοῦτο δὴ πῶς ὑγιαίνοντος ὅλως, ἀλλ' οὐ παντὸς Εὐρυβάτου ἀγνωμονέστερον; καλῶς οὖν ἐλέγομεν, προσήκοντά γε εἶναι τῇ θεοπαιίᾳ Πλήθωνος τὰ λεγόμενα, ἀντὶ ἀγαθῶν, τάξιν μεταλαμβανούσῃ κακῶν. εἰ δὲ λέγοι, μηδὲν εἶναι τὸ κωλῦον, καὶ ἄκοντας εἶναι τοὺς κακοὺς κακοὺς, καὶ κολάζεσθαι ὅμως, κακὸν μὲν οὐδὲν προσπεισομένους, ἀλλ' ὠφελησομένους τῷ κολάζεσθαι· ἀνόητα ἔσται φθεγγόμενος, ἕως ἂν ἄκοντες εἶεν ἐξαμαρτάνοντες. πρῶτον μὲν γὰρ, εἰ καὶ μηδὲν τῶν κακῶν ἕτερον πείσονται, αὐτό γε τοῦτο κακὸν αὐτοῖς, τὸ μὴ ἁμαρτάνοντας κολάζεσθαι· καὶ ταῦτά γε ὑφ' ὧν, εἰ καί τις ἕτερος ἦν ὁ μὴ ἀδικοῦντας κολάζων, ἐχρῆν δικαίως τῆς ἀδίκου κολάσεως ἀπαλλάττεσθαι, καί τινος τῶν χρηστοτέρων εἰκότως διὰ τοῦτο προσαπολαύοντας. τὸ δ' αὖ οὕτω κολάζεσθαι κακὸν, ὡς καὶ τὸ ἀναγκαζομένους ἁμαρτάνειν κακόν. εἰ γὰρ ἑκάτερον ἀκούσιον, ὡς μετὰ κακίας γινόμενον, πῶς οὐ κακόν; ἔπειτα ἢ ἑκόντας ἁμαρτάνοντας κολαστέον, καὶ ἔσται τι μὴ καθ' εἱμαρμένην, αὐτὸ τὸ ἑκούσιον, ὃ καὶ καθόλου εἱμαρμένην ἀναιρεῖ, ὡς πολλάκις πρότερον εἴρηται· ἢ οὐδένα κολαστέον τινά· ἢ οὐκ ἀγαθοὶ οἱ κολάζοντες, τὸ γὰρ ἀκούσιον, μέτριόν τι ποιεῖν αἱρουμένοις, οὐ μᾶλλον κολάζεται, ἢ συγγινώσκεται. ἑκατέρωθεν δὲ διαπίπτει Πλήθωνι, τὸ ἀκώλυτόν τε καὶ εὔλογον τῆς ἀκουσίου τῆς κακίας κολάσεως. εἰ δὲ μὴ παρὰ τὴν εἱμαρμένην, μηδὲ παρὰ θεοὺς, τούς τε ἄλλους, καὶ αὐτὸν Δία, φαίη τὸ ἀκούσιον εἶναι, ἀλλὰ παρὰ τὴν φύσιν, καθ' ἣν ἐκ θείας καὶ

ἐπι-

& secundum fatum puniant, siquidem fieri aliter non potest, quin & priora & posteriora sint secundum fatum, quoniam nihil extra illud est omnium quæ sunt aut fiunt: Quomodo hæc sint omninò sani hominis, & non quovis Eurybato potius improbiora? Recte igitur diximus, convenire hæc quæ allata sunt, Theoplastiæ Plethonis, quæ bonorum loco, turbam recipit malorum. Quodsi dixerit, nihil obstare, quominus mali sint inviti mali, & puniantur nihilominus, quod malo nullo augeantur, sed juventur pœnis; inepta proferet, quamdiu illi invite peccare statuantur. Nam primo, etiamsi aliud nihil patiantur mali, hoc ipsum satis mali est, quod nihil delinquentes puniantur: & id quidem ab iis, a quibus, si vel alius quis non peccantes sit puniturus, debebant merito ab injusto supplicio liberari, & vel præmio quodam propterea insuper affici. Malum itaque est, quod hoc modo puniantur, quemadmodum & quod coacti peccent, malum. Nam si utrumque ita est invitum, ut si esset cum malitia patratum, quidni malum sit? Deinde aut voluntario peccantes sunt puniendi, eritque adeo aliquid, quod non secundum fatum sit, nimirum ipsa actio voluntaria, quæ fatum prorsus tollit, ut antea dictum est non uno in loco: Aut nemo puniendus: Aut qui puniunt, justi non sunt. Nam quod invitum est, ab iis qui æquitati student, non tam punitur quam ignoscitur. Utroque autem modo refellitur, & pugnat cum ratione, pœna delicti involuntari. Si vero neque à fato, neque à Diis, cum aliis, tum ipso Jove, proficisci actus invitos dixerit; sed a natura, secundum quam ex divina & caduca naturis homo sit conflatus; ac-

ἐπικήρου φύσεως γεγονότα τὸν ἄνθρωπον σύνθετον, τῇ ἐφ᾽ ἑκάτερα ῥοπῇ, μὴ οἷόν τε εἶναι μὴ διαμαρτάνειν· τότε μὲν κατὰ τὸ θεῖον τὸ ἐν αὐτῷ, ἐπὶ τὴν τοῦ συγγενοῦς ἀφομοίωσιν ἀναγόμενον, τότε δ᾽ αὖ ὑπὸ τοῦ θνητοῦ κατασπώμενον, ὃ τὸ διαμαρτάνειν ἐστίν. εἰ ταῦτα λέγοι, ἄξιον αὐτὸν ἐρέσθαι· πότερον ἔστι τι, τὸ ἐπιστατοῦν ἀμφοῖν, καὶ δικαστοῦ τάξιν ἐπέχον, ὃ ἐπὶ θάτερα ἢ θάτερα ἄγει, κρίσει ἢ διεψευσμένῃ καὶ ἠπατημένῃ, ἢ ἀληθεῖ· ἢ οὐκ ἔστιν; εἰ μὲν οὐκ ἔστιν οὐδέν, καὶ δὴ οὔτε εἱμαρμένη ἐστί· καὶ παραπλησίως ἔχει τοῖς ἀλόγοις ὁ ἄνθρωπος, ἀλόγως οὕτω, καὶ κατὰ φυσικήν τινα μόνον ὁρμήν, ἐφ᾽ ἅπερ ἔτυχε, φερόμενος. καὶ τί λοιπὸν ἔδει κολάζειν, τὸν ἃ πράττει, μὴ μετὰ λογισμοῦ τινος εἰδότα, εἴτε δὴ καλῶς ἔχει, εἴθ᾽ ὡς ἑτέρως; εἰ δ᾽ ἔστι τι τὸ ἐπιστατοῦν, καθ᾽ ὃ κρίνειν καὶ αἱρεῖσθαι δυνάμενον, ἐπὶ θάτερα ἢ θάτερα γίνεται· τοῦτο τὸ κρῖνον, καθ᾽ ἑαυτὸ κρίνει, ἢ δι᾽ ἕτερον. ἀλλ᾽ εἰ μὲν καθ᾽ ἑαυτό· οὐκέτι οὔτε τὸ καλὸν οὔτε τὸ κακὸν ἀκούσιον, ὅπερ καὶ ἀληθέστατον· οὐδὲ δι᾽ ἕτερον, ἀλλὰ διὰ τὸ κρῖνον αὐτὸ καὶ αἱρούμενον. εἰ καὶ διαμαρτάνει ἔσθ᾽ ὅτε, περὶ τὴν κρίσιν καὶ αἵρεσιν, ἑκουσίως, ὡς οὐκ ἔδει, μὴ διατηροῦν τὸ ἀξίωμα, ὃ θεόθεν ἔχειν ἐπιτέτραπται. καθ᾽ ὧν συγκεκλήρωται, καὶ δὴ μὴ εἶναι δείκνυται εἱμαρμένη. παρὰ γὰρ τὸ κρῖνον καὶ αἱρούμενον, ὃ τὸ λογιζόμενον πᾶς ἂν εἴποι δήπου· τότε μὲν ἀξίως ἑαυτοῦ κρῖνόν τε καὶ αἱρούμενον, τότε δὲ ἀναξίως ἑαυτοῦ, τοῦ οἰκείου ὑποκατακλινόμενον ἀξιώματος, καὶ τοῖς ἀλόγοις δυνάμεσιν, αἷς ἀρρήτως συνέζευκται, συγκατασπώμενον καὶ συγκαθελκόμενον. εἰ δὲ δι᾽ ἕτερον· τοῦτο τί ἂν εἴη; ἢ δηλαδή, φαίη ἂν Πλήθων, ἢ

φύσιν,

ac proinde, propter propensionem in utramque partem, non possit non peccare, ubi interdum quidem, secundum divinam sui partem, ad cognatæ naturæ imitationem excitetur, mox vero a parte mortali abripiatur, hoc est peccet. Si inquam hæc dicat, operæ pretium erit ex eo requirere: num sit aliquid, quod ambobus præsit, & judicis obeat officium, quod ad alterutram partem impellat, judicio vel falso atque decepto, vel vero: an nihil sit? Si nihil sit, ne fatum quidem est, similisque est hominum conditio, atque brutorum, qui ita absque ratione, & naturali tantum impetu, quorsum contigerit ferantur. Quidque adeo opus erat, punire eum, qui eorum quæ facit, non sibi est cum ratione conscius, num bona sint an minus? Si vero aliquid præest hisce in homine naturis, quod cum judicare possit ac eligere, in alterutram partem impellat: id quidem vel per se judicat, vel per alium. Si per se, non amplius vel bonum vel malum erit invitum, id quod etiam verissimum: nec per aliud quiddam fiet, sed per illud ipsum quod judicat & eligit. Quanquam errat interdum in judicando ac eligendo, sponte, præter quam fieri debebat, suam negligens auctoritatem, quæ divinitus ipsi commissa est. Cum quibus conjunctum est, uti quoque jam ostensum, non esse fatum. Sequitur enim hoc ex illo, quod judicat & eligit, quam certe mentem quivis dixerit: Quæ mox suæ dignitati convenienter judicat & eligit, mox modo sese indigno, declinat a propria majestate, & brutis facultatibus, quibus abstrusa ratione juncta est, detrahitur & abripitur. Si vero per aliud judicare ponitur & eligere, quidnam quæso hoc sit? Certe vel naturam Pletho di-

φύσιν, ἢ Θεὸν, ἢ καὶ φύσιν καὶ Θεόν· ἑκάτερον δὲ, ἢ καὶ ἄμφω, καθ' εἱμαρμένην. οὐ γὰρ οὐδὲν εἱμαρμένης εἶναι χωρίς. καὶ δὴ πῶς τῶν ἁμαρτανόντων ἡ κόλασις, ἵνα μὴ πολλάκις τὰ αὐτὰ λέγω, μετρία, ἢ δικαία καὶ εὔλογος, δι' ἄλλο μὲν ἁμαρτανόντων, αὐτῶν δὲ κολαζομένων οὕτω παραλόγως, ὡς εἰ καθ' ἑαυτοὺς ἁμαρτάνοντες ἦσαν; τὸ δὲ τῶν ἁμαρτανόντων ἀδύνατον, Πλήθωνι μὲν ἂν ἴσως, κἂν εἰς παραίτησιν συνενέγκαι· κακίστῳ μὲν γεγενημένῳ τῶν πώποτε, εἰς ἀπολογίαν δὲ καταφεύγοντι ταύτην, τὸ μὴ δυνατὸν εἶναι, μὴ ἁμαρτεῖν αὐτὸν, τοιοῦτόν τινα γεγονότα, ἔκ τε θείας καὶ ἐπικήρου σύνθετον φύσεως, καὶ διὰ τοῦτο ἀνάγκῃ τε καὶ ἄκοντα, ἀλλ' οὐχὶ καθ' ἑαυτὸν γεγενημένον κακόν. μὴ γὰρ οἷόν τε ἂν εἶναι, μὴ κακὸν γεγονέναι, κἂν εἰ ὅτι μάλιστα ἐβούλετο μὴ κακὸς εἶναι· τοῦτο τῆς ἀνάγκης, ᾗ συνδέδεται, κατεπειγούσης αὐτόν. ἐλέγχεται δὲ ὅμως καὶ τοῦτο, τῷ πολλῷ πλείους εἶναι, τοὺς ἐν τῇ τοῦ ἀγαθοῦ καὶ ἀναμαρτήτου μοίρᾳ διατετηρηκότας ἑαυτούς· ἢ εἰ καὶ ἡμαρτήκασιν ἁμηγέπη, αὐτοὺς ἑαυτοῖς τοὺς πολλοὺς μεμηχανῆσθαι τὴν ἐπανόρθωσιν, τὴν αὐτῶν αὐτοὺς κακίαν εὐθύνοντας, καὶ τῇ ἑκουσίῳ ἑαυτοὺς κολάσει τε καὶ ἐπανορθώσει καθυποβάλλοντας. ὃς δὴ τρόπος ἐπανορθώσεως κάλλιστός τε, καὶ σὺν τῷ ἀγαθῷ γινόμενος, καὶ ἀγαθῶν αἴτιος τῷ ἐπανορθουμένῳ μεγάλων. οὓς δὲ ἄλλους ἄλλοι τρόπους ἐπανορθώσεως ἄκουσιν ἐπινοοῦσι τοῖς ἑκάστοτε πλημμελοῦσιν, εἰ ἐπ' αὐτοῖς γένοιντο, καλοὶ μὲν κἀκεῖνοι, τὴν κακίαν περιαιροῦντές τε καὶ ἐκτέμνοντες· οὔπω δὲ οὕτως ὡς ὁ προειρημένος καλοί, παρόσον ἀνάγκῃ τινὶ, καὶ οὐχ ἑκουσίως τοῖς πλημμελοῦσιν ἐπάγονται. εἰ καί τινες καὶ αὐτοὺς, ἀκουσίως οὕτως ἐπενεχθέντας, ἐπείπερ εἰς τοῦτο κατέστησαν ἀνάγκης, ἑκουσίως, καί τινα τρόπον, οὐ πάνυ χαλεπαίνοντες, ὑπομένουσι· τὴν ἐντεῦθεν σφίσιν ἐγγινομένην ὠφέ-

λειαν

cet, vel Deum, vel naturam juxta & Deum: alterutrum vero, vel ambo etiam fato esse; siquidem nihil absque fato sit. At enim, quomodo pœna delinquentium, ne eadem plus millies dicam, æqua sit, aut justa, & rationi conveniens: cum sane per aliud quidem delinquerent, ipsi vero punirentur ita præter rationem, ac si per se deliquissent? Sed hæc quidem impotentia peccantium, Plethoni forte præbuerit excusationem: qui omnium quidem qui fuere unquam pessimus evasit, sed ad hanc confugiet defensionem, fieri aliter non potuisse, quin peccaret, qui sit ex divina & caduca naturis conflatus, atque propterea necessario & invitus, non vero ex sese improbus factus. Vitare enim non potuisse, quin malus fieret, etiamsi id fieri noluerit: siquidem illa, qua constrictus sit, necessitas urserit. Verum & hoc refellitur, quod plures longe sunt, qui integri vitæ permanserunt, scelerisque puri: aut quorum plurimi, si lapsi quodammodo sunt, sese correxerunt ipsi, propriam damnando malitiam, & voluntariam subeundo pœnam atque correctionem. Qui sane optimus est emendandi vitia modus, & cum bono conspirans, & corrigenti sese causa magnorum bonorum. Quos vero alios alii modos excogitarunt corrigendi peccantes invitos, si in ipsorum essent potestate, ii quidem boni etiam sunt, si malitiam tollant & excidant; neque tamen cum modo jam laudato comparandi, quoniam cum vi quadam, neque consentientibus adhibentur peccantibus. Quanquam illos nonnulli, præter voluntatem licet impositos, ubi ad id necessitatis redacti sunt, quodammodo voluntarie neque prorsus iniquo animo sustinent, dum

λειαν ἀναλογιζόμενοι. περιαιρουμένης μὲν τῆς κακίας αὐτοῖς, ἀντὶ δὲ κακῶν, ἀγαθῶν μεταλαμβάνουσι μοῖραν, καὶ τοῦ μὲν μολυσμοῦ τῆς κακίας ἀποτριβομένου, ὡς δή τινι καθαρτηρίῳ ὕδατι καὶ ῥυπτικῷ ἐπιχειρήματι, τῇ ἐκ τῶν κολάσεων ἐπακολουθούσῃ πικρίᾳ· καθαρότητος δὲ λοιπὸν ἀντεισαγομένης, ἐπείπερ τὸ ῥυπαῖνον ἀνῄρηται, ὃ παρὸν τῇ καθαρότητί τε καὶ λαμπρότητι ἐλυμαίνετο. Πλήθωνι δὲ ἴσως τὸ βουλόμενον, οὐδὲ κόλασιν οὐδεμίαν οὐδαμόθεν ἄλλοθεν οὐδενὶ εἶναι, ἀλλ' ἢ παντὶ πᾶσαν θεόθεν, εἰς ἐπανόρθωσιν τῶν ἡμαρτημένων. μήτε δὲ βασιλέα, μήτε τύραννον μήτε δικαστὴν, μήτε μηδένα ἄλλον τῶν ἁπάντων, μηδένα καὶ ὁντινοῦν τῶν ἁπάντων κολάζειν· ἀλλὰ θεοὺς εἶναι, τοὺς τὴν ἑκάστων ἀκούσιον κακίαν ἀκουσίως κολάζοντας, ἵνα δὴ μηδαμόθεν ἀπῇ τὸ ἀκούσιον καὶ κατηναγκασμένον, καὶ ὡς οὕτως εἰπεῖν, πεπρωμένον καὶ ἄφυκτον. ὃ εἰ καί τι ἄλλο ἐνθεωρούμενον ἔχει, τὸ νῦν εἶναι, παρίημι πολυπραγμονεῖν· ὁρῶν εἰς πολὺ τὸν λόγον ἐκτεινόμενον μῆκος, καὶ περαιτέρω μὴ βουλόμενος μηκύνειν αὐτόν. τοσοῦτον ἐρῶ μόνον, ὡς καὶ βασιλεῖς, καὶ δυνάσται, καὶ τύραννοι, καὶ δικασταὶ, καὶ παιδοτρίβαι, καὶ παιδευταὶ, κολάσεσιν ἐπανορθοῦνται τὰ παρ' ἑκάστοις ἁμαρτανόμενα. καὶ ταὐτὰ διαφόρως, παρά τε τὸν ἑκασταχῆ νόμον, καὶ τὴν θέλησιν τῶν ἐπανορθούντων, καὶ τὴν ποιότητα τῶν ἁμαρτανόντων. οὔτ' ἂν εὐλόγως οὐδένα κολάζοντες, οὔτε τοὺς τὰ αὐτὰ πλημμελοῦντας διαφόρως, εἰ ἀνάγκῃ τινὶ, καὶ ἀφύκτῳ βίᾳ, σὺν τῷ κακῷ οἱ πλημμελοῦντες ἐγίνοντο, καὶ οἱ ἐπανορθοῦντες ἐν τῷ ἐπανορθοῦν. καὶ θεὸς δὲ, (οὐ γὰρ τέως ἀπέφευγον, εἰς τοῦτο αὐτομάτως ὑπὸ τῆς ἀκολουθίας τοῦ λόγου, τρόπον περιηνέχθην τινὰ,) προσκαίρως τε καὶ αἰωνίως κολάζει. προσκαίρως μὲν, ἐπανορθῶν ὡς τὰ πολλὰ τὰ ἡμαρτημένα, καὶ τὴν κακίαν ἔστιν οὗ πρόρριζον ἐκ μέσου ποιῶν. πῇ μὲν τοὺς πλημμελοῦντας διὰ μετανοίας,

καὶ

utilitatem reputant, quæ inde ad ipsos redundat. Quod scilicet detracta ipsis vitiositate, ex malis boni fiant, quodque per eam quæ poenas sequitur ægritudinem, eluantur malitiæ sordes, velut aqua quadam lustrali, & unguento abstergente; mundities vero inducatur rursus, postquam sublata est illuvies, quæ antea munditiei oberat & nitori. Plethoni forte hæc est sententia, nemini unquam poenas aliunde quam divinitus infligi, ad correctionem delictorum. Quare nec Regem, nec Principem, nec judicem, nec alium quemcunque, punire quenquam inter omnes, sed Deos singulorum invitam malitiam invite plectere, ut a nulla tandem re absit invitum atque coactum, fatoque definitum & ineluctabile. In quo quidem num insit aliud absurdum, nolo in præsenti scrutari curiosius, ubi video, longius extractam esse orationem, neque eam producere ultra est animus. Tantum dicam, quod & Reges, & Dynastæ, & Principes, & judices, & pædotribæ & magistri, singulorum soleant delicta corrigere, sed eadem diverse, pro cujusque loci legibus, & castigantium arbitrio, aut qualitate denique peccantium. Qui sane vel neminem punirent cum ratione, vel ejusdem delicti reos non modo diverso, si necessitate quadam & vi ineluctabili & delinquentes incidissent in vitia, & corrigentes correxissent. Enimvero Deus, (nam quod antea sum conatus effugere, in hoc ipsum ultro consecutione quodammodo deferor orationis,) & ad tempus punit, & in æternum. Ad tempus quidem, corrigens utplurimum delicta, & malitiam quandoque radicitus tollens e medio: dum peccantes nunc poenitentia & ægritudine ex poenis, ad se con-

καὶ τὸ ἀπὸ τοῦ κολάζειν πικρίας, εἰς ἑαυτὸν ἐπιστρέφων καὶ ἀνακτώμενος, ἀποπλανηθέντας αὐτοῦ· πῆ δὲ καὶ ἐπὶ σωφρονισμῷ τῶν ἄλλων, τοῦ μὴ τοῖς αὐτοῖς περιπεσεῖν, ὡς τῶν αὐτῶν καὶ αὐτοὺς δεηθῆναι· πῆ δὲ καὶ δι' ἄμφω ὁμοῦ, αὐτῶν τε τῶν κολαζομένων, καὶ ἑτέρων πη αὐτῶν μετριωτέρων γινομένων κολάσει. ἔσθ' ὅτε δὲ καὶ ἀνιάτως ἐνίους ἔχοντας, ὡς σεσηπότα περιτέμνων μέλη, καὶ ἀναιρῶν· ἵνα μὴ τοῦ σηπεδόνος, τῷ συνεθισμῷ τε καὶ τῇ ἐγγύτητι, καὶ τοῖς ὑγιαίνουσι μεταδοῖεν. ἐπείπερ ὡς ὁ ἀπόστολός φησι, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. προσκαίρως μὲν οὖν οὕτω, καὶ διὰ ταῦτα, κολάζει θεός· αἰωνίως δὲ, οὐκέτι ἐπανορθῶν. μετὰ γὰρ τὸ ἀποθανεῖν, οὐκέτι οἷόν τε ἐπανορθωθῆναι οὐδένα. τῶν γὰρ ἀγώνων καὶ τῆς ἐπανορθώσεως ὁ παρὼν καιρός τε καὶ βίος, ὁ δὲ μέλλων, ἀνταποδόσεως. οὐκέτι οὖν ἐπανορθῶν αἰωνίως κολάζει· τὴν δὲ πρέπουσαν ἀπαιτῶν δίκην, παρὰ τῶν ἑκόντων ἀνεπανορθώτων μεμενηκότων. ἣν καὶ Πλήθων ἀποτίσει, κάκιστος ἑκὼν γεγενημένος τῶν πώποτε· ἵνα ὃν εὐεργετοῦντα ποικίλως οὐκ ἐπέγνω, τοῦτον ἐπιγνῷ, τὴν πρέπουσαν ἀπαιτοῦντα δίκην αὐτόν. εἰς ἣν αὐτὸς ἑαυτὸν ἐκ μακροῦ παρεσκεύασεν, ἀμεταμελήτως ἔχων, καὶ πάνυ τοι ἀσεβῶς. τοῦ θεοῦ μὲν τῶν ὅλων ἀποστὰς, ἑτέρους δὲ μὴ ὄντας ἀντεισάγων, καὶ προσανέχων αὐτοῖς. οἷς τὴν ἁπάντων τε πρόνοιαν αὐτοῖς ἐπιτρέπων, μὴ κακῶν τε αἰτίους ἀποφαινόμενος εἶναι, καὶ εἱμαρμένῃ ἀπαρατρέπτῳ, τὸ βέλτιστον ἑκάστοις ἀπονέμειν διοριζόμενος. ἃ δὴ πάντα ἐπιλέγων ἀπαριθμεῖται· ὡς κἀντεῦθεν ἡμῖν γίνεσθαι δῆλον, καὶ ἕτερα αὐτῷ πεπραγματεῦσθαι, ἠσεβῆσθαι δὲ μᾶλλον εἰπεῖν οἰκειότερον, βιβλία, πάντα πάσης ἀσεβείας ἀνάμεστα. εἰ καὶ μήπω τῶν ἄλλων οὐδὲν οὐδὲ ἅπται ἡμῖν, μηδὲ ὀφθείη, πυρὶ πάντων ζήλῳ εὐσεβείας παραδοθέντων

ὑπὸ

convertit, & abs se aberrantes recuperat: mox castigatione aliorum, ne scilicet in eadem incidant, cum eorundem & ipsi indigeant: Nunc utroque modo simul, ut & ii qui puniuntur, & alii horum castigatione fiant meliores: Nunc etiam eos qui sunt insanabiles, tanquam putrida membra resecat & tollit, ne ulcerosam putredinem, consuetudine & propinquitate sua, sinceris etiam affricent. Bonos enim mores, ut inquit Apostolus, pravæ consuetudines corrumpunt. Ita igitur, & ob has rationes, ad tempus punit Deus, sed in æternum, non ut corrigat amplius. Nam post obitum corrigi amplius potest nemo, siquidem præsens tempus & vita certaminibus & correctioni destinata, futura vero præmiis & pœnis. Non igitur punit in æternum, ut corrigat, sed ut justas repetat poenas ab iis, qui data opera noluere corrigi. Quas quidem & Pletho persolvet, qui volens evasit pessimus omnium qui fuere unquam, ut quem varie benefacientem non agnovit, eundem dignas ab ipso reposcentem poenas agnoscat. His enim dudum se reddidit dignum, dum absque resipiscentia in pertinaci persistit impietate, & deserto omnium rerum opifice Deo, alios ipsius loco, qui non sunt inducit, iisque confidit: omnium vero rerum ipsis committit providentiam, concluditque, non esse quidem eos malorum auctores, sed fato immutabili, quod optimum sit tribuere singulis. Quæ omnia postremo loco breviter annumerat, ut inde quoque nobis sit perspicuum, eundem alios etiam conscripsisse, vel impie potius consarcinasse libros, summa omnes impietate refertos. Quanquam nondum ceterorum quicquam vel contigit videre, vel contingere opto, sed o-

ὑπὸ παντὸς, ἵνα μὴ καὶ εἰς ἕτερον ἀγῶνα λόγων ἀναγ-
κασθείημεν καταστῆναι. μόνῳ δὲ τῷ περὶ εἱμαρμένης ἐν-
ετύχομεν, καὶ ὡς παρασκευῆς εἴχομεν, ἀπηντήσαμεν πρὸς
αὐτὸ, τὴν ἐνοῦσαν αὐτῷ ἀβελτηρίαν τε καὶ ἀσέβειαν ἐξε-
λέγχοντες. δεικνύντες, εἰ μέλλει δυσχεραίνειν Πλήθων
ἐξελεγχόμενος, εἱμαρμένην μὴ εἶναι. οὐδὲν δ' ἧττον, τῷ
αὐτῷ τρόπῳ καὶ κατ' αὐτὴν, ἀδολεσχεῖν τε αὐτὸν, καὶ μηδὲν
ἀναγκαῖον εἰσάγειν· οὕτω σοφιζόμενον ἀπαρακαλύπτως,
ὡς ἀντὶ τῶν μελλόντων τὰ γινόμενα προχειρίζεσθαι, κἀν-
τεῦθεν τὸ πάντων τῶν μελλόντων ὡρισμένον συνεισάγειν πει-
ρᾶσθαι. καίτοι διενηνοχότων ἀλλήλοις, καὶ μὴ τὸν αὐτὸν ἐ-
πιδεχομένων λόγον, τοῦ τε μέλλειν καὶ γίνεσθαι. καὶ ταῦτα,
εἰ καὶ ταυτόν γε ἦν, μὴ ἀναγκαίως ἐντεῦθεν τῆς εἱμαρμέ-
νης εἰσαγομένης, μηδὲ τῶν πάντων δεικνυμένης αἰτίας.
ἀπὸ πάθους δή τινος τοῦ κατ' αὐτὴν ὀνόματος παρειλημ-
μένου, μὴ μέντοι τόδε τι οὔσης, ὡς καὶ αἰτίου τινὸς αὐτὴν
ἐντεῦθεν δείκνυσθαι εἶναι. τοῦ τῆς αἰτίας λόγου, κατ' οὐ-
δὲν τῶν τοῦ αἰτίου σημαινομένων, δεδειγμένων προσή-
κειν αὐτῇ· τῶν τε ἄλλων καὶ τῶν παθητικῶν λεγομένων ποιο-
τήτων, τῆς τε δυνάμεως καὶ ἐνεργείας, καὶ εἴ τι ἄλλο ὁπωσ-
οῦν, τὸν τῆς αἰτίας λόγον οἷόν τε ἐπιδέχεσθαι. τῷ Διΐ τε
τὴν ἀνάγκην καὶ εἱμαρμένην Πλήθωνος συγκληροῦντος καὶ ἀ-
πονέμοντος· τὸ μάταιον τῆς τοῦ Διὸς ἐξηλέγχομεν ἐπι-
κλήσεως καὶ θεοπλασίας, παθῶν αὐτὸν χαλεπωτάτων κατὰ
τοὺς λέγοντας, δημιουργὸν ἀποφαίνοντες· καὶ τὸ τῆς εἱμαρ-
μένης ἀσύστατον δεικνύντες, τῷ τὰ ὄντα εἱμάρθαι λέ-
γεσθαι τῷ Διΐ, ὡς δυνατὸν αὐτοῖς ταττόμενά τε καὶ ὁριζό-
μενα. εἰς τοὐναντίον περιτρεπομένου τοῦ λόγου, ὡς ἢ μηδό-
λως εἶναί τι τὸν Δία τε καὶ τὴν εἱμαρμένην, ἢ μὴ πάντα ὑπ'
αὐτῶν ὡρίσθαι τε καὶ τετάχθαι, εἰ καὶ ὅλως εἶναί τι δοθείη.
προσαποδεικνύντες, μήτε ἐκ Διὸς τὴν ἀνάγκην εἶναι ἐνδέ-
χεσθαι,

mnia potius igni ab omnibus tradi, ſtudio in pietatem, ne novum cogamur inire cum ipſo certamen orationis. In unicum vero de fato libellum incidimus, & prout quidem eramus ad id inſtructi, eidem obſtitimus, quam continebat amentiam & impietatem refellentes. Oſtendimus enim, ſi ſe refelli Pletho tulerit moleſte, fatum non eſſe evinci; & nihilolecius illum, eodem modo & ſecundum illud nugari, nihilque recte concludens afferre, qui ita aperte cavilletur, ut pro futuris, ea quæ fiunt adducat, indeque futura omnia definita eſſe, velit efficere. Cum tamen hæc inter ſe differant, neque eadem ſit ratio futuri quæ præſentis: Præſertim, cum ne quidem ſi unum ſint, fatum inde neceſſario inducatur, vel omnium rerum oſtendatur eſſe cauſa. Nomen enim εἱμαρμένης originem ducere a paſſione quadam, ipſum vero fatum non habere per ſe naturam, ut inde alicujus rei poſſit cauſa oſtendi. Quin cauſæ notionem nullo ſignificatu ipſi convenire, tum alio, tum patibilium quæ dicuntur qualitatum, vel virtutis, aut efficaciæ, aut ſi quicquam aliud cauſæ ullo modo notionem patiatur. Cum porro neceſſitatem fatumque Pletho aſſociaret atque tribueret Jovi, vanum eſſe oſtendimus nomen atque commentum Jovis, cum peſſimorum, ut perhibent, vitiorum fuerit architectus. Et demonſtravimus, quam male ſibi conſtet fatum, quod conſtituta omnia dicantur a Jove, ſicut fieri per illa ipſa potuerit, ordinata atque definita. Ut adeo contrarium efficiat hæc ratio, & Jupiter fatumque, aut omnino nihil ſint, aut ſi vel maxime concedantur eſſe aliquid, non omnia ſint ab ipſis definita aque ordinata. Inſuper vero demonſtravimus,

Dd 2

χεθῇ, μήτ' ἐκ τῆς ἀνάγκης τὸν Δία, μήτε Δία καὶ ἀνάγκην ἐξ ἑτέρου τινὸς, ἢ ἐξ ἀλλήλων· ἐξ ἑκάστου τούτων πάντως ἀδυνάτου τινὸς Πλήθωνι ἑπομένου. τό τε τῶν μὴ ὄντων θεῶν ἀμετάβλητον, καὶ τὸ πολύθεον, ἐπεὶ καὶ τούτων Πλήθων πεποίηται μνήμην, ἐκ τοῦ τελείου καὶ ἀπείρου καὶ ἀγαθοῦ ἐξελέγχοντες ἑνὶ μόνῳ τούτων ἑκάστου προσήκοντος, οὐ πολλοῖς. καὶ τὸ διάφορον παριστῶντες, τοῦ τὰ μέλλοντα γινώσκειν τε καὶ ἀποτελεῖν. ἀπείρου μὲν ἐπὶ θεοῦ τῆς γνώσεως οὔσης, καὶ οὐ κατὰ τὴν ἡμετέραν ἐχούσης· πεπερασμένης δὲ τῆς ποιήσεως, εἰ καί πως ἑκάτερον, καὶ πεπερασμένον, καὶ ἄπειρον. τό τε ἀληθὲς ἀμετάβλητον, ὅ, τί ποτέ ἐστιν ἐπὶ τοῦ ὄντως θεοῦ, προσεπιδιοριζόμενοι, καὶ προσαποδεικνύντες ἔτι, ἀποτρέπειν Πλήθωνα, λιτανεύειν τε τὸ θεῖον, καὶ δῶρα καὶ θυσίας ἀναφέρειν αὐτῷ. προτρεπόμενοι, θύειν τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ μὴ δεδιέναι, μὴ τὴν εἱμαρμένην ἀναιροῦντες συνανέλωμεν καὶ τὴν πρόνοιαν, ὡς ἐτερατεύετο Πλήθων· ἀλλ' ἀνάπαλιν, μὴ τὴν εἱμαρμένην τιθέντες, ἑαυτοὺς ἀποσχοινίσωμεν τῆς προνοίας. δεδειγμένου διὰ πολλῶν, εἰ πρόνοια εἴη, μηδαμοῦ χώραν εἶναι εἱμαρμένῃ μηδεμίαν· μηδὲ τοῦ ἀγαθοῦ μηδαμῇ μετεῖναι, εἰ μὴ διὰ τὴν εἱμαρμένην, τῇ Πληθωνικῇ θεοπλασίᾳ, καθ' ἑαυτὴν δὲ οὐδόλως, εἰ μὴ καὶ πᾶν τοὐναντίον. ἐπὶ τούτοις ἅπασι διῃροῦμεν, τὸ ὁρίζειν τοῦ προγινώσκειν· Πλήθωνος οὐκ ἀποδιαιροῦντος ἀλλήλων, ἀλλὰ ταὐτὸν εἶναι ταῦτα ἐπὶ τοῦ θεοῦ βουλομένου. καὶ τοῦτο διὰ πολλῶν ἐξελέγχοντες, καὶ προσεπιθεωροῦντες, ὡς ἕκαστα τῶν ὑπὸ τοῦ Θεοῦ γινομένων, γίνεταί τε τὰ αὐτὰ, καὶ ποιεῖ κατὰ φύσιν, ἀρχῆς τινος ἐπέχοντα λόγον, κατὰ δεύτερον λόγον. ἄνθρωπος δὲ, καὶ κατὰ φύσιν, καὶ προαίρεσιν ποιεῖ, λόγῳ κατ' ἐξαίρετον

τετι-

mus, neque ex Jove esse necessitatem posse, neque ex necessitate Jovem, neque Jovem & necessitatem ex alio quodam, aut ex se invicem, quoniam ex singulis horum sequatur aliquid, quod omnino fieri non possit. Tum commentitiorum Deorum immutabilitatem & multitudinem, siquidem horum etiam mentionem facit Pletho, refutavimus, partim ex perfectione, partim ex infinitate partim ex bonitate, quarum singulæ, uni tantum conveniunt, non pluribus. Quidque intersit, inter cognitionem futurorum, atque effectionem, posuimus ob oculos: Cum Dei cognitio infinita sit, neque eodem quo nostra se habeat modo, effectio vero finita sit, licet quodammodo & finita & infinita dici possit. Deinde, quid vera in vero Deo sibi velit immutabilitas, exposuimus, ostendentes porro, vetare Plethonem, preces adhibere Deo, vel dona eidem & sacrificia offerre. Hortati vero sumus omnes, ad sacrificium laudis Deo offerendum: & minime metuendum esse diximus, ne sublato fato, providentiam tollamus una, ut Pletho nugatus est; sed potius, ne ponendo fatum, nos ipsos a providentia sejungamus. Multisque evicimus, si providentia sit, fato nullum esse locum, neque illam ex Plethonis Theoplastia, bonam ulla ratione esse posse, nisi per fatum, per se vero bonam neutiquam esse, nisi omnino malam. Præter hæc omnia, diversa esse docuimus, præscire & definire, quæ Pletho non distinguit, sed eadem vult esse in Deo. Quod multis confutavimus: simulque disputamus qua ratione singula a Deo creata fiant, & efficiant alia secundum naturam, ita ut principiorum secundorum habeant rationem. Hominem vero & secundum naturam & propositum agere,

τετιμημένος, καὶ αὐτεξουσιότητι. καθ' ὃ καὶ προορᾷν ἐστὶν ὅτε τῶν μελλόντων ἔνια εἴρηται, ἢ κατ' ἀποκάλυψιν ἐξ ἀρετῆς, ἢ κατὰ παρατήρησιν τῶν οὐρανίων σωμάτων, ὡς σημαντικὰ αὐτὰ ἐλέγομεν γίνεσθαι. πῆ μὲν σὺν τῷ εὖ, τῆς προγνώσεως γινομένης· πῆ δὲ, τούτου χωρὶς, καὶ διὰ τοῦτο πεπλανημένως τε καὶ οὐκ ἀψευδῶς. τὴν δ' ἐκ μαντείας ἐπινοουμένην ἅπασαν πρόγνωσίν τε καὶ πρόῤῥησιν εἰς δαίμονας ἀπεῤῥίπτομεν, καὶ τὴν ἐκείνων ᾐτιώμεθα κατοχὴν, ἢ οἰκείωσιν ἐθελούσιον, ὡς μήτε πᾶσαν τοιαύτην πρόῤῥησιν ἀληθεύειν, καὶ φευκτὴν εἶναι πᾶσαν εἰκότως. καὶ μὴν καὶ τὸ διατιθέναι καὶ διατίθεσθαι, τῇ θεοπλασίᾳ Πλήθωνος, ἐμπαθεῖ γε οὕτως εἰσαγομένῃ, προσήκοντα, τῆς τοῦ θεοῦ γνώσεως ἀπεσκευαζόμεθα. τήντε κοινωνίαν ὁμοίως, τοῦ γινώσκοντος πρὸς τὸ γνωστὸν, καὶ τὸ τῶν μελλόντων ὡρισμένον, τοῦ τῆς θείας γνώσεως ὡρισμένου τε καὶ προεγνωσμένου· πάντα μὲν γινώσκοντος τοῦ θεοῦ, οὐ πάντα δὲ προορίζοντος, μὴ γὰρ καὶ τῶν ἐφ' ἡμῖν ὁριστικὸν αὐτὸν εἶναι. ἐπὶ πᾶσι, διὰ πλειόνων, τὸ Πληθωνικὸν τεκμήριον μὴ ἀναγκαίως ἔχειν, ἐξελέγχοντες, ἀλλὰ πάνυ διεψευσμένως τε καὶ σοφιστικῶς· ὡς ὅθεν εἱμαρμένην εἰσῆγε, τῷ πειρωμένους διαφυγεῖν τινας, ἃ τῶν ἐσομένων προμεμαθήκασιν, αὐτοῖς οὐδὲν ἧττον περιπεσεῖν. ἐντεῦθεν αὐτόν τε δείκνυσθαι, τῆς τῶν οἰκείων λόγων ἀσθενείας κατεγνωκέναι, τό τε τεκμήριον μὴ ἀναγκαῖον εἶναι, τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνον, καὶ ψευδῶς ἔχειν, πολλῶν καὶ διαφευγόντων ἑκάστοτε, ἃ τῶν ἐσομένων προμανθάνουσιν. ὅπου τὸ τοῦ λόγου πρῶτον μέρος Πλήθωνί τε καὶ ἡμῖν ἐτελεύ-

τα,

quod præ ceteris ſit ratione & libero arbitrio præditus: quorum ope prævidere interdum poſſit nonnulla futurorum, aut per revelationem ex virtute, aut per obſervationem corporum cœleſtium, quemadmodum & hæc ſignificare diximus nonnulla. Ut proinde bona ſit interdum illa præſcientia, aliquando non item, ac propterea falſa & incerta. Quæ vero divinatione elicitur præſcientia aut prædictio, eam quidem omnem in dæmones conjecimus, horumque inſtinctu diximus effectam, aut voluntarie contracta cum iis familiaritate, ut proinde nec ejuſmodi prædictio ſemper vera, merito autem fugienda penitus ſit. Deinde oſtendimus, Deum neqve diſponendo res cognoſcere, nec ut ab iiſdem diſponatur, quod commentitiis potius Plethonis Diis, qui pleni adeo affectionum inducuntur, conveniat. Rejecimus ſimiliter illam ſententiam, quod communio ſit inter cognoſcentem & rem cognitam, aut quod ex definita ratione cognitionis aut præſcientiæ divinæ ſequatur, definita eſſe futura: Cum omnia quidem norit Deus, ſed non omnia præfiniat, nec enim certe ea præfinire ipſum, quæ ſita ſint in nobis. Denique pluribus non neceſſarium eſſe evicimus, ſed plane falſum & ſophiſticum argumentum, quo fatum inducit: quod nimirum nonnulli, quæ ſibi eventura prædixicerant, in eadem, licet id vitare conati ſint, nihilominus inciderint. Apparere potius, ipſum infirmitatis ſuarum rationum fuiſſe convictum: Argumentum vero ipſum minus apte concludere, ſed quod in quæſtione ſit, ſumere pro confeſſo, ac plane falſum eſſe, cum multi ubique, quæ futura prædixicerant, evitent. Et hic quidem finem primæ parti orationis & Pletho & nos impoſuimus.

τα. ἐπεὶ δὲ ὡς ἤδη κυρίων τῶν ἠξιωμένων Πλήθωνι ὄντων, ἢ ἠσεβημένων εἰπεῖν οἰκειότερον, πρὸς ταῦτα δὴ καὶ ἀντετίθει, καὶ τὰ ἀντιτιθέμενα πειρώμενος ἦν ἐπιλύεσθαι, καὶ ἡμεῖς συναντετιθέμεν τε αὐτῷ, καὶ τὰς τῶν ἐπιλύσεων ἐξηλέγχομεν. διὰ πολλῶν ἐρρῶσθαι, καὶ πάνυ, τὰς τῶν ἀντιθέσεων ἀποδεικνύντες. μήτε τὸν ἄνθρωπον τοῖς ἔξω συγχωροῦντες δουλεύειν, δι' αὐτὸν γεγενημένων ἁπάντων, μήτε τῶν ἔξω μηδὲν αὐτοῦ δεσπόζειν, πλὴν θεοῦ τε καὶ ἑαυτοῦ, κατὰ τὸ λογιζόμενον, διατιθεμένου πρὸς τὰ ἔξω, ὡς διατεθείη ἂν ἐπιστήμων πρὸς ἐπιστητὸν, κἀντεῦθεν ἀνατεινομένου, ἢ ὀφείλοντος ἐπὶ τὸν δημιουργὸν ἀνατείνεσθαι τοῦ παντός. καὶ μόνον οὕτως δεσπότην, ὅπου καὶ ὅτου δὴ χάριν ἡ ὁρατὴ πᾶσα κτίσις παρηγμένη ἐστὶν, αἰτιολογοῦντες ἐθεωροῦμεν. τήν τε ἐλευθερίαν καὶ δουλείαν οὐκ ἀπομερίζοντες, τοῖς μὲν θάτερον τοῖς δὲ τὸ λοιπὸν ἀπενέμομεν· ἀλλὰ τοῖς αὐτοῖς πῇ καὶ ἄμφω· οὐδένα δοῦλον ἀποκαλοῦντες, καὶ αὖ οὐδένα ἐλεύθερον, πάντα τε ὁμοίως δοῦλον καὶ πάντα ἐλεύθερον. ἀμφοῖν πῇ, τῆς ἐλευθερίας δηλαδὴ καὶ δουλείας ἐπαληθευομένων ἐπὶ παντός. ὡς καὶ τὸ τῆς κολάσεως καὶ ἐπανορθώσεως, τῶν ἁμαρτανόντων καὶ ἁμαρτανομένων, τὸ εὔλογον οὕτως ἔχειν, ἀλλὰ μὴ εἰς ἀδικίαν ἀποκλίνειν, ὡς ἐτίθετο Πλήθων· οὐ δικαίως κολαζομένων, τῶν ἀκόντων τε καὶ διὰ τὴν ἀνάγκην ἁμαρτανόντων. εἰ καὶ ἡ ἀνάγκη, ἡ δουλεία τε καὶ ἐλευθερία μυρίαις ἀκαταλληλίαις τε καὶ ἀντιφάσεσιν αὐτὸν ἐδείκνυντο περιβάλλουσαι, ἵνα δὴ κἂν λόγοις ἤ τινα ταύτην ἀποτετικὼς οὐ μικρὰν δίκην, τεκμήριον οὖσαν παντὶ λογιζομένῳ ὀρθῶς, τῆς μεταστάντα διαδεχομένης αὐτὸν καταστάσεώς τε καὶ ἀντιδόσεως. οὐκέτι ἐπανορθουμένου οὐδενὸς, οὐθ' ὧν αὐτὸς Πλήθων, οὐθ' ὧν οἱ ἄλ-

λοι

ſuimus. Quoniam autem Pletho, veluti rata eſſent quæ ſtatuerat, vel impie potius commentus erat, iis etiam opponebat nonnulla, & oppoſita conabatur diſſolvere: nos quoque ſimul illi quædam oppoſuimus, reſponſioneſque ipſius refutavimus. Oſtendentes pluribus, argumenta oppoſita admodum ſalva eſſe: minimeque concedentes, hominem ſervire rebus externis, cùm omnes propter ipſum factæ ſint, neque externorum quicquam ipſi imperare, præter Deum, & hominem ipſum, ſecundum rationem. Qui quidem erga res externas ita ſit animo affectus, ut ſciens erga res quæ in ſcientiam cadunt: a quibus ad omnium rerum opificem erigatur, aut erigi debeat. Et argumentando effecimus, ſolum hominem eſſe dominum omnium, cujus gratia univerſus hic adſpectabilis mundus ſit productus. Servitutem vero & libertatem non ita diſtinximus, ut illam his, hanc aliis tribueremus; ſed ut ambo iiſdem: Neminem ſervum vocantes, neminemque liberum, ſed omnes æqualiter & ſervos & liberos, ut adeo utrumque, nimirum & ſervitus & libertas, vere de unoquoque dici poſſit. Qua quidem ratione etiam pœna peccantium, & correctio peccatorum æquæ ſunt, non vero ita injuſtæ, quales Pletho ponit, dum præter jus faſque puniri invitos, & ex neceſſitate delinquentes, arbitratur. Quanquam neceſſitatis & ſervitutis ac libertatis vocabula in infinitas eum conjeciſſe demonſtravimus diſcrepantias & contradictiones: Ut verbis etiam hanc non exiguam penderet pœnam, quæ ſimul argumento ſit, qui illum exſpectet poſt obitum ſtatus, quod ſupplicium: cum non poterunt amplius corrigi, vel Pletho vel alii quicunque, ab iis quæ vel

λοι πάντες ἐξημαρτήκασί τε ϗ ἁμαρτάνουσι. μετὰ γὰρ τὴν ἐνθένδε τοῦ βίου ἀπαλλαγὴν, οὐκέτι οὐδεμία οὐδενὶ ἐπανόρθωσις· πάντων ὡς θέμις τῶν πρεπούσαις ὑποβαλλομένων ποιναῖς, ἀνθ' ὧν ἀσύγγνωστα πλημμελοῦντες οὐκ ἐπεστρέφοντο. ἀπρὶξ ϗ ἀμεταμελήτως, αὐτοί τε οὕτω τῆς κακίας ἐχόμενοι, ϗ ἄλλοις αἴτιοι γενόμενοι τοῦ κακύνεσθαι, πονηρίας ὑπόδειγμα τὸν ἑαυτῶν ὑπολείποντες βίον. καθὸ Πλήθων πάντας ϗ τοὺς πώποτε ὑπερέβαλε· βεβιωκὸς μὲν αὐτὸς ἐν ἀβελτηρίᾳ παντοίᾳ, ὑπόκρισιν δ' ἐσχάτην, παρὰ πάντα τὸν αὐτοῦ βίον ἐπιδειξάμενος, ϗ βιβλία τοιαῦτα καταλελοιπὼς, ἃ πό γ' εἰς αὐτὸν ἧκον, πάντας ἔμελλε τῆς μακαριότητος ἀποσχοινίζειν ϗ τἀγαθοῦ. ἵνα μηδ' ἀποθανὼν γοῦν, παύσαιτο τῷ τῶν ἀνθρώπων λυμαίνεσθαι γένει· εἰ μὴ κἀνταῦθα μᾶλλον ἢ πρότερον, παρέσον· ζῶν μὲν ἔτι, δεδιὼς ϗ ὑποκρινόμενος, τὸ δὴ λεγόμενον, λαγῶ βίον ἔζη, κρυπτόμενος, ϗ μόνοις ἐκείνοις τὸν ἰὸν τῆς κακίας ἐγχέων, ὅσοι ἁμαγέπη αὐτῷ ἐπλησίαζον. ϗ οἷς δολεραῖς πως προκατειλημμένοις, ἐθάῤῥει μὴ προδοθησόμενος εὐσεβέσιν. ἐκρύπτετο οὖν ἔτι ζῶν, μὴ φωραθεὶς ἀσεβῶν, δίκην ἀποτίσῃ, ἣν εἰκὸς ἀποτιννύειν τοὺς ἀπόνοιαν νενοσηκότας, ϗ ἐσχάτην ἀσέβειαν. ἀποθανὼν δὲ, οὐκέτι οὐδ' ὑποκρίνεται, ἀνέδην οὕτω πᾶσι νομοθετῶν, ἃ τοῖς ϗ ὁπηοῦν προσέχειν, ἢ τετολμηκόσιν, ἢ τολμῶσιν, ἢ ϗ τολμήσουσιν, (ὅπερ οὔτ' εἶναι, ἢ ἔσεσθαι οὐδενὶ πείθομαι, ἢ δέδοικα, ϗ ἅμα ἀπεύχομαι,) ὕλη πονηρίας γινόμενα, τὸ ἄσβεστον ἐκεῖνο πῦρ ἐπεγείρει, ϗ ταῖς αἰωνίαις παραπέμπει κολάσεσιν. κολασθησομένους αἰωνίως, ἀνθ' ὧν οὕτως ἀσυγγνώστως τε ϗ ἀμεταμελήτως ἠσεβηκότες, ἢ ἀσεβοῦντες, οὕτω μεγάλην ϗ πολλὴν τὴν ὕλην ἐπεσώρευσαν, ὡς ἔμελλεν εἰς ἀΐδιον ἐξαρκεῖν τῷ σφίσιν ὑπαναπτο-

deliquere vel delinquunt. Nam post migrationem ex hac vita, nulli porro est correctioni locus, omnesque ut par est, justo tradentur supplicio, quod in peccatis haud ignoscendis absque resipiscentia persliterint, quodque adeo tenaciter, & absque sensu pœnitentiæ, & ipsi inhæserint malitiæ, & aliis imporbe agendi auctores fuerint, relicta exemplo malitiæ, sua vita. Qua in re omnes qui fuere unquam, superavit Pletho, qui quidem vitam transegit in summa dementia, sed summam semper monstravit simulationem. Ejusmodi vero reliquit libros, qui quantum in ipso erat, omnes a felicitate summoque bono debebant sejungere: Ut ne mortuus quidem, perniciem humano generi afferre desineret; vel majorem etiam, quam ante afferret. Quatenus per vitam quidem meticulosus & simulans, leporis, quod dici solet, vitam egit, occultatus: & solis illis venenum malitiæ infudit, qui ipso sunt quodammodo familiariter usi, & a quibus jam dolose sua opinione ablatis, sese non prodendum esse piis confidebat. Latuit ergo dum viveret, ne pro impio deprehensus, pœnas daret, quas pendere æquum est eos, qui vecordia laborant & summa improbitate. Mortuus vero non simulat amplius, sed impudenter omnibus præcipit, quæ iis qui fidem his quodammodo præbere, vel ausi sunt, vel audent, vel audebunt, (quod nemini nec evenire nec eventurum esse confido, aut veritus, ne eveniat opto.) materies futura sunt malitiæ, & ignem illum inexstinctum excitabunt, æternisque ipsos tradent suppliciis. Ut nimirum in æternum puniantur, quod peccatis haud ignoscendis absque resipiscentia inhærentes, tam amplam sibi multamque cumularint materiem, quæ

τεμένῳ πυρί. ὃ καὶ Πλήθων ἑαυτῷ ἐκ πολλῆς ὑπανῆψε παρασκευῆς· οὐ προσεσχηκέναι θελήσας, οἷς προσέχων, σωφροσύνης τ' ἂν εἴχετο, ὀρθοῦ τ' ἂν οὐκ ἐξέπιπτε λόγου, καὶ λιμένι σωτηρίας προσωρμίζετ' ἄν, ἑαυτῷ τε πάνυ χρησίμως, καὶ πολλοῖς ἄλλοις τῇ τοῦ λόγου δυνάμει ἐπωφελῶς, τῇ τοῦ ὄντως ἐνηδόμενος καλοῦ θεωρίᾳ, καὶ μετὰ πάντων ἀγαλλόμενος, τῶν οὐκ ἔξω τοῦ καλοῦ πεφιλοσοφηκότων τε καὶ βεβιωκότων. ἀλλ' ἐκείνοις ἐξακολουθήσας, οἳ τὴν τοῦ πυρὸς ἐνέργειαν, ἐπὶ τὰ χεῖρω ἀπεμέρισαν ἑαυτοῖς καταφλέγουσαν μὲν ἀκαταπαύστως, φωτίζουσαν δὲ οὐδαμῶς, ἀλλ' ἐν σκότει παντελεῖ συντηροῦσαν, καὶ εἰς ἣν ἀποπεπτώκασιν ἄγνοιαν τοῦ καλοῦ, ταύτῃ ἐναπολαμβάνουσαν. τῆς φωτιστικῆς ἐνεργείας, παραδόξως οὕτω σφίσι διατειχιζομένης, καὶ μόνοις ἀπομεριζομένης ἐκείνοις, οἵτινες ἐκ τοῦ ἐναντίου, σφᾶς αὐτοὺς ἐν τῇ τοῦ ἀγαθοῦ θεωρίᾳ τε καὶ μετουσίᾳ ἐτήρησαν. ὧν ἁπάντων αἴτιον ὡς εἴρηται Πλήθωνι, τὸ ἐκείνοις ἠκολουθηκέναι, ὧν ἐκ πολλοῦ τοῦ περιόντος ἔδει καταφρονεῖν. μᾶλλον δὲ ἵν' οὕτω ἀκριβέστερον εἴπω, τὸ ἑαυτῷ ἐξ ἀπονοίας πάντ' ἐπιτρέψαι. μηδένα νομίζοντα οἷόν τε ἂν εἶναι ἄμεινον αὐτοῦ, πραγμάτων πέρι ἐπισκέπτεσθαί τε καὶ κρίνειν, κἀντεῦθεν ἑαυτῷ γενόμενον καὶ νομοθέτην καὶ νόμον. ἐκεῖνο μόνον ἀληθὲς νομίζοντα, οὗπερ ὑπῆρξεν αὐτὸς εὑρετής, ὑπὸ τοῦ τῇ φιλαυτίᾳ τε καὶ αὐθαδείᾳ πάνυ στοιχεῖν. καὶ ἃ διανοηθεὶς ἔτυχεν ἐπὶ κακῷ, ἄλλοις ταῦτα νομοθετοῦντα. τῆς μὲν ἀληθινῆς λατρείας, καὶ προσκυνήσεως τοῦ ἀληθινοῦ θεοῦ, ἀφιστῶντα πάντα, σπουδῇ πάσῃ καὶ μηχανῇ, ἐπ' ἐκείνους δὲ μετατιθέντα τὸ σέβας, ὧν αὐτὸς καὶ πλάστης, εἰ οὕτω χρὴ φάναι, καὶ θεοποιὸς ἐχρημάτισεν. οὐ προφητῶν οὐδένα ποιούμενος λόγον, τῶν ἀεὶ ὄντα θεὸν ὑποφαινόντων τε καὶ προκηρυττόντων, ἀνθρώποις ἐπιδημοῦντα χρόνῳ ὕστερον μετὰ σώματος, ὑπερβολῇ ἀγαθότητος. οὐκ ἀποστόλων, ὑπο-

δει-

æterno igni alendo ipsis sufficiat. Quem sibi quoque Pletho magna industria accendit, dum iis noluit advertere animum, quæ si amplexus esset, fecisset prudenter, neque excidisset veritate, & in portum salutis fuisset appulsus, magno sui ipsius commodo, & multorum aliorum, qua rationis vim, emolumento: Fuisset autem veri boni contemplatione delectatus, atque cum iis gavisus, qui non aliter ac decet, aut vivunt aut philosophantur. Sed eos secutus est, qui se exitiosa istae ignis efficientia dignos reddiderunt, qua quidem comburit perpetuo, sed nunquam illustrat, & in densis relinquit tenebris, ac in quam inciderunt homines boni ignorationem, in illa detinet: Ut adeo collustrandi vis hac ratione ipsis mire intercludatur, iisque solis tribuatur, qui in boni contemplatione ac societate permanserunt. Et hæc quidem omnia sibi conscivit Pletho, dum eos est secutus, quos debebat vehementer adspernari, vel ut curatius dicam, dum sibi omnia præ stultitia permisit, neminemque sibi persuasit posse se melius res vel expendere, vel dijudicare, ac proinde sibi ipsi factus est & legis lator & lex. Id unice verum putavit, cujus ipse fuit inventor, quod sua unice amet, suis sibi placeat. Quæ vero excogitavit ipse in perniciem, eadem sancivit aliis: omnesque a vero cultu, verique Dei adoratione avocavit, omni studio atque labore; ad illos autem venerationem transtulit, quorum ipse fictor quasi conditorque dici meretur. Nullam habuit rationem cujusquam Prophetarum, qui æternum illum declarant monstrantque Deum, qui posterioribus temporibus in corpore versatus est inter homines, ex abundanti bonitate. Non Apostolo-

δεξαμένων ἐπιδημήσαντα, καὶ ἠκολουθηκότων, καὶ καθηγησαμένων ἅπασι τῆς ἐπιγνώσεως αὐτοῦ καὶ ὑποδοχῆς. οὐ μαρτύρων, ὑπὲρ αὐτοῦ σφαγισθέντων ἐθελουσίως, καὶ φωστήρων φανοτάτων δίκην, τοῖς θαύμασι διειληφότων καὶ διαυγασάντων τὴν σύμπασαν, καὶ πῆξιν ἐπὶ τοῦ νοητοῦ στερεώματος ἐσχηκότων, βάσιμόν τε καὶ ἀσάλευτον ἐσαεί. οὐ διδασκάλων, βίου καθαρότητι, καὶ λαμπρότητι λόγου, τῆς ἀπλανοῦς καθηγησαμένων, ἐκ μείζονος καὶ λαμπροτέρας, οὐδ' ὅσον ἐξεῖναι παραβαλεῖν, ἢ Πλήθων τῆς παρασκευῆς καὶ συνέσεως. παρόσον καὶ αὐτὸς ἄλλως, τοὺς ἄνδρας τῆς σοφίας ὑπερηγάσατο, οὐχ ἧττον ἢ τῶν ἔξω τοὺς εὐδοκιμηκότας. ἀρετὴ γὰρ ἀνδρὸς καὶ πολεμίῳ αἰδέσιμον. οὔτε δὲ θεοσημεία αὐτὸν, πρὸς τὴν ἀλήθειαν ἐπεσπάσατο, οὔτε θρησκευμάτων σεμνότης, πάντως οὐκ ἀθεεὶ γινομένη, οὐδ' ἡ τῶν ἑκάστοτε τελουμένων εὐταξία, οὔτε τῶν νομοθετούντων τε καὶ νομοθετουμένων τὸ διὰ πάντων ἀνεπίληπτον, οὐδ' ὃ καὶ μᾶλλον πάντων ἔδει πείθειν αὐτὸν, σοφίαν ἐπαγγελλόμενον, τὸ μηδενὸς ἧττον ἔχειν. εἴπερ ἠβούλετο λογίζεσθαι, ὡς εἰ μὴ θεῖα τὰ χριστιανῶν ἦν, καὶ ἀτεχνῶς θεόθεν καὶ γινόμενα καὶ ταττόμενα, οὐκ ἂν ἐν τῇ ἀσθενείᾳ ἐνεδυναμοῦτό τε καὶ ὑπερίσχυε καὶ ἐτελειοῦτο. οὐκ ἂν τὸ τῶν ἁλιέων, καὶ σκηνοποιῶν, καὶ σκυτορράφων ἄσοφον, ὡς οὕτως εἰπεῖν, καὶ ὑπέρσοφον, κατεκράτει τῆς νομιζομένης σοφίας. καὶ τὸ ἐν Χριστῷ μωρὸν, ὑπέρτερον ἐδείκνυτο πανταχοῦ, τοῦ ἐν τῷ κόσμῳ κατ' ἀνθρώπους σοφοῦ. οὐκ ἂν ἐλάλει Παῦλος, καὶ κατεσιγάζετο Πλάτων, καὶ οἱ Πλάτωνος ὀπαδοὶ πρὸς τὴν μαθητείαν μετετίθεντο Παύλου,

τῆς

rum, qui viventem in terra exceperunt & secuti sunt, omnibusque agnoscendi & recipiendi illum auctores fuere. Non Martyrum, qui sponte pro ipso oppetiere mortem, & lucidissimorum instar siderum, miraculis totum complexi sunt & illustrarunt orbem, fixamque habent & immotam in cœlo intelligibili sedem in perpetuum. Non discipulorum, qui vitæ puritate, & splendore orationis, rectam monstrarunt viam, ex augustiore atque clariore institutione & intelligentia, quam quidem, si liceat uti comparatione, Pletho: Qui ipse ceteroquin etiam, hos viros propter sapientiam non minus admiratus est, quam gentilium excellentissimos: Nam virtus etiam in hoste laudatur. Quare nec divina revelatio Plethonem permovit ad veritatem, neque cæremoniarum sanctitas, omnino non sine Deo orta, nec rerum ubique gestarum concinnitas, quodque neque Doctores ipsi, nec quæ tradiderunt, potuerint unquam reprehendi; vel quod maxime omnium debebat eum convincere, qui sapientiam jactitat, quod nulli unquam succubuerint. Si voluisset reputare, quod nisi Christianorum omnia divina essent, & vere divinitus profecta atque mandata, non in tanta infirmitate robur cepissent, aut prævaluissent, & pervicissent: Neque piscatores & tabernaculorum opifices, aut qui pellibus in hunc usum consuendis dabant operam, imperitia sua, sit venia verbo, vel inusitata sapientia, superassent eam quæ nomen habet speciemque sapientiæ: & stultitia in Christo ostensa esset quovis modo superior esse mundanæ inter homines sapientiæ. Non loquente Paulo ad silentium redactus fuisset Plato, & Platonis sectatores transiissent in disciplinam Pauli, damna-

τῆς Πλατωνικῆς φλυαρίας ἐκ πολλοῦ καταγνόντες τοῦ περιόντος· ὡς καὶ αὐτοὺς ἄλλοις τὰ Παύλου κηρύττειν, Παῦλον μιμουμένους, καὶ πάντα πᾶσι κατ' ἐκεῖνον γινομένους· ἵνα δὴ πάντας, ἢ τούς γε πλείους κερδάναντες, ὡς ὁ Παῦλος, παραστήσωσι τῷ Χριστῷ. οὐκοῦν ἐφθέγγετο τελώνης εὐαγγελιζόμενος, καὶ πᾶσα ἡ ἑλληνικὴ σοφία, μωρία δὲ μᾶλλον εἰπεῖν οἰκειότερον· ὑπεξίστατο καὶ ὑπανεχώρει· οὐκ ἂν ὁ σκηνοποιὸς ἐγίνετο κρείττων, τῶν ἐν τούτῳ διὰ βίου προεστησαμένων, συμμεμετρηκέναι τῷ βίῳ, τὴν περὶ τὴν ἑλληνικὴν ἅπασαν ματαιότητα πιθανολογίαν· οὐκ ἂν ἰδιῶται τυράννων ἐκράτουν, ἀγράμματοι ῥητόρων καὶ φιλοσόφων, ἐνδόξων ἄδοξοι, εὐκαταφρόνητοι ὧν λόγος ἄλλως πολύς· οὐκ ἂν μυριοπλασίους μὲν ὁσημέραι ποικίλως ἐθανατοῦντο, πολλῷ δὲ πλείους ἦσαν οἱ προστιθέμενοι τῷ εὐαγγελίῳ, ὡς νικᾶν τῶν ἀποσφαττομένων τὸν ἀριθμὸν, τὸν τῷ κηρύγματι προστιθεμένων, οὐδ' ὅσον ἐξεῖναι περιλαβεῖν λογισμῷ. ὡς οἷς διενοοῦντο, οἱ κατὰ καιροὺς γῆς καὶ θαλάσσης κρατοῦντες, ἢ καὶ ἄλλως ἑκασταχοῦ δυναστεύοντες, κατασιγάζειν τὸ κήρυγμα ἰδιωτῶν, οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, τούτοις ἡττᾶσθαι. καὶ εὐαγγελικὸν λόγον εἰς τὰ γῆς παρατείνεσθαι πέρατα· ἑνὸς ἀποσφαττομένου, ἢ κατὰ κρημνῶν ὠθουμένου, ἢ θαλαττίῳ παραπεμπομένου βυθῷ, ἢ ἄλλον γέ τινα τρόπον ὑπεξαγομένου τοῦ ζῆν. μυρίως γὰρ δὴ κατὰ τῶν Χριστοῦ ζηλωτῶν τὰ κολαστήρια, καὶ ποικίλοι οἱ θάνατοι· καὶ μυρίων ἐγειρομένων αὐτῷ τούτῳ, τῷ ὑπὲρ Χριστοῦ τινα ἢ κρημνίζεσθαι, ἢ ἀποσφάττεσθαι, ἢ θαλάττῃ καταβαπτίζεσθαι, ἢ ἄλλον γέ τινα τρόπον ὑπεξάγεσθαι τῆς ζωῆς, πρὸς ἀμείνω τε καὶ μακαριωτέραν καὶ ἀεὶ διαμένουσαν μεταχωροῦντα ζωήν.

damnatis admodum Platonicis nugis: Ita quidem, ut ipsi etiam Pauli doctrinam docerent alios, Paulum imitati, & cum ipso omnibus facti omnia, quo ejus quoque ad exemplum, omnes vel certe plurimos lucrati, Christo sisterent. Non Publicanus nunciasset evangelium, & omnis sapientia Graecanica, vel ut rectius dicam stultitia, sensim cessisset & sese subduxisset. Non opifex tabernaculorum victoriam ab iis retulisset, qui id unum aetatem prae se ferebant, ut omnem vitam in universis Graecorum ineptiis apte persuadendis consumerent. Non homines plebeji triumphassent de Principibus, non illiterati de Rhetoribus & Philosophis, non de celebribus inglorii, non contemti de iis qui caeteroquin erant quantivis pretii. Non plures quotidie fuissent vario supplicio sublati, & longe plures tamen accessissent evangelio, ut vix mente comprehendi possit, quantum multitudo eorum qui susceperant praeconium, occisorum superaverit numerum. Ut proinde, quibus artibus succedanei terrae marisque Domini, aut Dynastae singularum Provinciarum, silentium cogitabant imponere praeconio hominum plebejorum, iis omnibus nihilominus, vel tanto magis etiam discesserint inferiores; sermoque evangelii ad terras usque fines extensus sit, dum alius jugulabatur, alius dabatur praeceps, aut in mare dejiciebatur, aut alio modo privabatur vita. Infinita enim adversus Christi sectatores erant poenarum genera, varia supplicia mortis: Multis interim eo ipso excitatis, quod alios viderent pro Christo praecipites dari, jugulari alios, alios aquis submergi, aut alio mortis genere multari, ad meliorem & feliciorem atque perennem vitam transituros. Quod

ζωήν. ὃ καὶ παράδοξον, καὶ λόγον φύσεως ὑπερβαῖνον. τὸ γὰρ τιμώμενον ἅπαν, καὶ ἐπιδίδωσιν, ὡς τὰ πολλά, ὃ δὲ ἀτιμάζεται, τοῦτο καταφρονεῖταί τε, καὶ ὅτι τάχιστά γε ἄνθους ἀποῤῥεῖ δίκην ἐαρινοῦ, καὶ ἐκ μέσου γίνεται παντελῶς. ἐνταῦθα δὲ τὸ κηρυττόμενον οὐκ ἠτιμάζετο μόνον, ἀλλὰ καὶ ἀπηλαύνετο. καὶ οὐκ ἀπηλαύνετο μόνον, ἀλλὰ καὶ ἐκολάζετο καὶ οὐχ ἑνὶ κολάσεων εἴδει, ἀλλὰ ποικίλοις τε καὶ χαλεπωτάτοις. καὶ οὐχ ἁπλῶς οὕτως, οὐδ' ὡς ἔτυχεν, ἀλλ' εἰς θάνατον ἡ κόλασις ἐτελεύτα· οὐδὲ τῶν τυχόντων κολαζόντων, καὶ ὧν λόγος ἄλλως ὀλίγος, ἀλλὰ βασιλέων, καὶ τυράννων, καὶ δυναστῶν, καὶ τῶν ὁπωσοῦν ἀρχόντων ἑκασταχῆ. καὶ μᾶλλον ἐπεδίδου τὸ κήρυγμα, ἢ πάντα ὅσα τις ἂν εἴποι ἐν κόσμῳ κατ' ἀνθρώπους τιμώμενα. καὶ τοσούτῳ πλείους ἐζήλουν τε αὐτὸ, καὶ ἠσπάζοντο, καὶ ἐσέβοντο, ὅσῳ πλείους αἱ ἀτιμίαι κατὰ τῶν προσιεμένων ἐπενοοῦντο, καὶ κολαστηρίων εἴδη ἐμηχανᾶτο καθεκάστην βαρύτερα. καὶ ταῦτα ὑπὲρ τίνος; ὑπὲρ εὐκαταφρονήτου νομιζομένου ἀνθρώπου, θάνατον οἴκτιστον ἀποθανόντος καὶ ἐπονείδιστον, ὡς κακούργου ἐσταυρωμένου, τάφῳ ὡς νεκροῦ ἐντεθέντος. τὰ γὰρ σεμνὰ καὶ ὑπέρσεμνα σιωπῶ, καὶ τὰ τῆς φύσεως ὑπερβαίνοντα λόγον, ἅπερ οὐ τῆς ἀνθρωπότητος, ἀλλὰ τῆς αὐτοῦ θεότητος ἐτύγχανεν ἔργα καὶ θαύματα· οὐ τὰ περὶ τοῦ σταυροῦ μόνον, ἀλλὰ καὶ τὰ μετὰ τὸν σταυρὸν αὐτὸν καὶ τὸν θάνατον, καὶ τὴν τριήμερον ἐκείνην ταφὴν, καὶ τὴν ἐκ τῆς ταφῆς ἔγερσιν. ὑπὲρ τοιούτου τοίνυν νομιζομένου, ἔπασχον ταῦτα, καὶ ὁ ἀριθμὸς τῶν τῷ κηρύγματι προστιθεμένων, εἰς ἄπειρον ἐπεκτεινόμενος ἦν, καὶ τὰ πέρατα διαλαμβάνων τῆς γῆς. οὐκ ἂν οὕτω γινομένου τούτου, εἰ μὴ θεῖόν τε

& paradoxon est, & naturæ rationem supergreditur. Nam quæ habentur in honore, incrementa capiunt ut plurimum, sed quæ vexantur contumeliose, illa & habentur contemtim, & celeriter tanquam flosculi decidunt, & penitus tolluntur e medio. Hic autem præconium evangelii non vexabatur solum, sed & propellebatur, & non propellebatur tantum, sed & puniebatur, nec uno supplicii genere, sed variis & truculentissimis, neque simpliciter aut quomodocunque, sed pœna in necem desinente, neque ab hominibus plebejis & nullius pretii, sed Regibus & Principibus & Dynastis, & quocunque tandem nomine unusquisque tenebat ubique imperium. Magis vero crescebat præconium, quam quæcuncque humanarum rerum habentur in honore apud homines, tantoque plures id sectabantur & accipiebant, & venerabantur, quo plures contumeliæ excogitabantur adversus sectatores, quoque graviora quotidie exquirebantur genera suppliciorum. Et pro quo quidem hæc omnia? Pro eo, qui contemtus esse credebatur homo, qui miserrima & ignominiosissima morte perierat, qui cruci erat suffixus ut maleficius, & in sepulcro ut mortuus conditus. Augustiora enim & mystica taceo, quæ naturæ rationem superant, quæque non humanæ ejus sed divinæ opera fuerunt naturæ & miracula: non ea solum, quæ ante crucem, sed & quæ in cruce ipsa atque morte acta sunt, tum tridui illam sepulturam, & surrectionem e sepulcro. Pro illo igitur qui talis habebatur, hæc omnia suscipiebant: & numerus eorum qui accedebant præconio; crescebat in infinitum, ipsosque terræ complectebatur fines. Quæ sane non ita con-

καὶ ὑπερφυὲς τὸ γινόμενον ἦν, πάσης κοσμικῆς καὶ ἀνθρω-
πίνης ἐπινοίας καὶ μηχανῆς ἀνώτερον τῷ ὄντι γινόμενον·
ὡς τὸ ἐλαυνόμενον τῶν μὴ ἐλαυνομένων ὑπερισχύειν, καὶ κα-
τακρατεῖν, οὐδ' ὅσον εἰπεῖν ἐξεῖναι, τῶν τιμωμένων τὸ ποι-
κίλως ἀτιμαζόμενον. καίτοι εἰ τὸ τῶν χριστιανοὺς ἀτι-
μαζόμενόν τε καὶ κολαζόμενον, τῶν τιμωμένων ὑπερίσχυσε
πάντων, ἐν τῷ τιμᾶσθαι μὲν ἐκεῖνα, αὐτὸ δὲ ἀτιμάζε-
σθαι· ὡς ἐκ μέσου γενέσθαι παντελῶς, ἃ δὴ τίμια ἐνομίζε-
το, καὶ εἰς τοῦτο καταλῆξαι χρόνῳ ὕστερον, ἠρέμα ὑπεξι-
στάμενα, μᾶλλον δὲ ἀθρόον οὕτω καὶ ἄρδην ἀφανιζόμενα·
ὡς μηδὲ ὄνομα γοῦν αὐτῶν ὑπολελεῖφθαι σχεδόν. εἰ τὰ
τῶν χριστιανῶν γινόμενα, ἐπὶ τοὺς ἐκεῖνα τιμῶντας, μη-
χανῇ τινί τις μετετίθει, πῶς ἂν ἐπὶ βραχύν τινα γοῦν
χρόνον ἰσχὺν ἔσχεν· ὅπου καὶ τοιούτου παντὸς ἐκτὸς ἐκ μέσου
γεγένηται, οὐδενὶ ἄλλῳ, ἢ τῷ παθήματι καὶ τοῖς κινδύ-
νοις, τῶν ὁσημέραι διωκομένων καὶ ἀποθνησκόντων ὑπὲρ
Χριστοῦ; ἀλλ' ὄντως ἡ τοῦ Χριστοῦ δύναμις ἐν ἀσθενείᾳ τε-
λεῖται, ἐν τῷ ἀτιμάζεσθαί τε, τῶν τιμωμένων πάντων
ὑπερισχύει, καὶ ἐν τῷ διώκεσθαι, παντὸς τοῦ κόσμου ὑπερ-
κοσμίως κατακρατεῖ, καὶ τῶν ἐλαυνόντων τοὺς ἐλαυνομένους
ἀνωτέρους τηρεῖ, δεσμίους τε καταδεῖ τοὺς δεσμοῦντας, μα-
στιγίαις τε τοὺς μαστίζοντας ὑποχειρίους ποιεῖ, καὶ δουλα-
γωγεῖ τοῖς δούλοις τοὺς γῆς ἄρχοντας καὶ θαλάσσης. ἃ
πῶς ἂν ὅλως ἐγίνετο ταύτη, εἰ μὴ θεῖά τις ἀοράτως
δύναμις ἦν, ἡ δι' αὐτῶν καὶ ἐν αὐτοῖς ἐνεργοῦσα, καὶ πάν-
τα αὐτῶν ἡττᾶσθαί τε καὶ εἴκειν παρασκευάζουσα. καίτοι τὰς
γινομένας ἑκάστοτε παραδοξοποιίας, θείας ἐνεργείας οὔ-
σας ἀποτελέσματα, οὐκ ἀνθρωπίνης δυνάμεως ἐπινοίας καὶ

μη-

tigissent, nisi divina & supernaturali ratione essent facta, omnique mundana humanaque mente & fabrica vere superiora fuissent. Ita quidem, ut quæ supprimebantur, viribus antecellerent non suppressa, & quod variis vexabatur injuriis, plus quam dici possit, prævaluerit iis quæ habebantur in honore. Enimvero, si ignominia pœnæque adversus Christianorum doctrinam, impedire non potuerunt, quin de omnibus triumpharet, quæ habebantur in honore, etiam tum, cum hæc habebantur in pretio, illa in dedecore; ut prorsus sublata sint quæ putabantur honorifica, & in ignominiam postremis temporibus desierint, ubi sensim exspiraverant, quin potius ita confestim & funditus deleta erant, ut vix nomen eorum superesset. Si quis contrario, quæ in Christianos patrata sunt, adversus eos, qui gentilium suspiciebant placita, artificio quodam adhibuisset, quid brevi de ipsis factum esset, cum absque his omnibus e medio sublata sint, alia re nulla quam tormentis & periculis eorum, qui quotidie persecutionem & mortem adibant pro Christo? Sed vere vis Christi in infirmis robur capit, & dum contemtim habetur, omnibus iis quæ honorantur, evadit; superior, & dum persecutione premitur, mundum universum cœlesti potentia vincit, & vexatos vexantibus reddit potiores, vincula imponit vincientibus, flagris subjicit flagellantes, marisque & terræ dominos mittit sub jugum servorum. Quæ quomodo hac ratione potuissent omnino contingere, nisi divina quædam esset & occulta vis, quæ per eos & in iis ageret, efficeretque ut omnia ipsis succumberent cederentque? Nam quæ ubique mira evenerunt, divinæ omnino potentiæ effectus, non

μηχανήματα, δι' ὧν τὸ κατ' αὐτοὺς τοῦ κηρύγματος ὑπερφυὲς διεδείκνυτο· ταύτας τοίνυν ἁπάσας παρίημι λέγειν, πάντα λόγον νικώσας. ὅπου γὰρ τὸ ἀσθενὲς καὶ ἀτιμαζόμενον τοσαύτην ἔχειν ἰσχὺν διαδείκνυται, ὡς τῶν ἰσχυρῶν καὶ τιμωμένων πάντων ὑπερτερεῖν, τίς λοιπὸν χρεία, τὰ ὑψηλότερα λέγειν, καὶ ἅπερ οὐκ ἀνθρωπίνης, ἀλλ' ἀτεχνῶς ὑπερφυοῦς καὶ θείας ὄντως ἔργα δυνάμεως; ἀλλ' εἰ μή τι ἄλλο, τὰ γοῦν τὰ τοιαῦτα τῇδε διαλογίσασθαι, παντὶ καὶ ὁτῳοῦν ῥάδιον ὄν, καὶ μηδεμιᾶς περινοίας δεόμενον, πρὸς τὴν ἀλήθειαν οὐκ ἐπήγαγε τὸν Πλήθωνα· ματαιωθέντα τοῖς ἰδίοις λογισμοῖς, καὶ ἀποστάντα μὲν τοῦ πεποιηκότος αὐτόν· τοὺς δὲ μὴ ὄντας ἑαυτῷ θεοὺς ἐπιστήσαντα, καὶ αὐτοῖς τὸ τοῦ δημιουργοῦ σέβας ἀπονενεμηκότα τε καὶ πάντα προτρεπόμενον ἀπονέμειν, καὶ εἱμαρμένην αὐτοῖς συνεισάγοντα, εἰς τὴν τοῦ παντὸς παραγωγὴν, καὶ συντήρησιν· εἰ μὴ ἐξ ἀϊδίου καὶ αὐτὸς φρονεῖ τὸν κόσμον εἶναι, ὅπερ ἐξελέγχειν οὐ τοῦ παρόντος καιροῦ.

ΤΕΛΟΣ.



humanarum virium inventa & opera, per quæ præconii istius demonstrata est divinitas, illa jam taceo omnia, quod oratione satis depingi non possint. Ubi enim infirmum, & contemtum tantum habuisse robur est ostensum, ut potentia omnia, & honorata superarit, quid attinet porro de altioribus dicere, quæ non humanarum, sed vere divinarum & supernaturalium opera sunt virium? Hæc igitur omnia, & alia forte, quæ reputari facile possunt ab unoquoque, nec ulla sollertia indigent, Plethonem tamen ad veritatem non perduxerunt: Qui vanus factus est sua ratiocinatione, & deserto Creatore suo, Deos sibi qui non sunt præfecit, iisque tribuit majestatem opificis mundi, omnium denique rerum iis curam & administrationem commisit: Cum iis vero fatum simul introduxit, ad universi hujus productionem & conservationem: Nisi mundum putat ab æterno esse, cujus quidem refutationem ab hoc tempore arbitror esse alienam.

FINIS.



ER-

ERRATA.

P. 5. *suorum omnium* l. *sui omnia*. p. 6. ὕτως l. οὕτως. p. 10. ἀτὸς l. αὐτός. p. 12. λόγον l. λόγου. p. 14. διαρέσεως l. διαιρέσεως. p. 18. εἰωθέιων l. εἰωθάτων. p. 19. lin. 29. post verba *futurum sit*, insere: *ut quod de uno sit ostensum, idem etiam in alterum conveniat*. p. 22. lin. 1. post ταῦτα insere καὶ τὰ τοιαῦτα. p. 32. οὖν. l. ὤν. p. 44. ποιεῖν l. ποιῶν. p. 51. *& efficitur*, l. *efficit, ut*. p. 66. ἐνδεᾶ l. ἐνδεῆ. p. 77. *efficientiem* l. *efficientiam*. p. 91. lin. 19. post *quam sint*, insere: *norunt enim res non aliter quam disponendo illas*. p. 97. lin. 11. post *Quorum* insere: *alterum definitum, perfectio nimirum & bonitas*. p. 131. *prostratum* l. *prostratus*. p. 163. ἐλεύθέρως l. ἐλευθέρως. Nota p. 107. lin. 17. σκυτοτόμων reddidi ad verbum, *coriariorum*. Intelliges autem *tabernaculorum opificem* Paulum, qui etiam ab Auctore nostro p. 212. dicitur σκηνοποιὸς & σκυτοῤῥάφος, & a Theodoreto & Chrysostomo sæpius σκυτοτόμος. conf. Suicerum p. 982. Thesauri, & Schurzfleischium in Diss. de Paulo σκηνοποιῷ ad Act. XVIII. 3. Est autem σκυτοτόμος qui coria incidit, ut Simo Socraticus dicitur a Laertio II. 122. Dictus ita est Paulus, quod tentoria e coriis conficeret.

